ΠΟΙΚΙΛΗ
ΙΣΤΟΡΙΑ.

Sive Novus

HISTORIARUM FABULARUMQUE

DELECTUS.

ΠΛΟΥΤΑΡΧΟΣ.

Καθάπερ τὰς χάρακας οἱ Γεωργοὶ τοῖς Φυτοῖς ἐμπιθέασιν· οὕτως οἱ νόμιμοι τῶν Διδασκάλων ἐπιμελεῖς τὰς ὑποθήκας καὶ παραινέσεις παραπηγνύσι τοῖς νέοις, ἵν' ὀρθὰ τούτων βλαστάνοι τὰ ἤθη.

OXONII:

E Typographeo Clarendoniano.

Impensis J. BURDON, Bibliop. Winton.

M DCC LXXVI.

Authorum NOMINA,

Qui hoc Libro continentur.

CLAUD. ÆLIANUS.
POLYÆNUS.
ARISTOTELES.
DIONYSIUS HALICARN.
MAXIMUS TYRIUS.
PLATO.
HERODOTUS.

BODLEIAN
D

ΕΚ ΤΗΣ
ΑΙΛΙΑΝΟΥ
Ποικίλης Ἱστορίας.

ΚΕΦ. α'.

Πῶς ὁ Σωκράτης τὸν τοῦ Αλκιβιάδου τύφον ἀνέστειλεν.

ΟΡΩΝ ὁ Σωκράτης τὸν Ἀλκιβιάδην τετυφωμένον ἐπὶ τῷ πλούτῳ, καὶ μέγα φρονοῦντα ἐπὶ τῇ περιουσίᾳ καὶ τοῖς ἀγροῖς, ἤγαγεν αὐτὸν ἔς τινα τῆς πόλεως τόπον, ἔνθα ἀνέκειτο πινάκιον ἔχον γῆς περίοδον, καὶ προσέταξε τῷ Ἀλκιβιάδῃ τὴν Ἀττικὴν ἐνταῦθα ἀναζητεῖν. Ὡς δὲ εὗρε, προσέταξε τοὺς ἀγροὺς τοὺς ἰδίους διαθρῆσαι· τοῦ δὲ εἰπόντος, ἀλλ' οὐδαμοῦ γεγραμμένοι εἰσίν· ἐπὶ τούτοις οὖν, εἶπε, μέγα φρονεῖς, οἱ περὶ οὐδὲν μέρος τῆς γῆς εἰσίν;

ΚΕΦ. β'.

Πῶς ἡ Γνάθαινα ἑταῖρα κατεσίγασε λάλον.

Αφίκετο ἐξ Ἑλλησπόντου παρὰ τὴν ἑταῖραν τὴν Ἀττικὴν Γνάθαιναν ἐραστὴς κατὰ κλέος αὐ-

τῆς. Παρὰ πότον ἔν τωλὺς ἦν λαλῶν, καὶ ἐδόκει Φορτικός· ὑπολαβὼν ἔν ἡ Γνάθαινα, εἶτα σὺ μέν τοι λέγεις, εἶπεν, ἥκειν ἐξ Ἑλλησπόντου; τῦ δὲ ὁμολογήσαντος, καὶ πῶς, εἶπεν, ὐκ ἔγνως τῶν ἐκεῖ πόλεων τὴν πρώτην; τοῦ δ' εἰπόντος, καὶ τίς ἐστιν; ἥδε ἀπεκρίνατο, Σίγειον. Καὶ ἐμμελῶς διὰ τῦ ὀνόματος κατεσίγασεν αὐτόν.

ΚΕΦ. γ'.

Ἡ Νίκα τῆς θαλάσσης ἦρξαν Μιτυληναῖοι, τοῖς ἀφισαμένοις τῶν συμμάχων τιμωρίαν ἐκείνην ἐπήρτησαν, γράμματα μὴ μανθάνειν τοὺς παῖδας αὐτῶν, μηδὲ μουσικὴν διδάσκεσθαι· πασῶν κολασέων ἡγησάμενοι βαρυτάτην εἶναι ταύτην, ἐν ἀμαθίᾳ καὶ ἀμουσίᾳ καταβιῶναι.

ΚΕΦ. δ'.

Περὶ Σωκράτους, ὅτε τὸ κώνειον ἔπιεν.

Ὅτε ἦκεν ἡ ναῦς ἡ ἐκ Δήλου, καὶ ἔδει Σωκράτην ἀποθνήσκειν, ἀφίκετο εἰς τὸ δεσμωτήριον Ἀπολλόδωρος ὁ τοῦ Σωκράτους ἑταῖρος, χιτῶνα τε αὐτῷ φέρων ἐρίων πολυτελῆ καὶ εὔηριον, καὶ ἱμάτιον τοιῦτο· καὶ ἡδέως ἐνδύεται αὐτὸν τὸν χιτῶνα, καὶ θοιμάτιον περιβαλλόμενον, εἶτα ἔτω πιεῖν τὸ φάρμακον. Ἔλεγε γὰρ αὐτῷ καλῶν ἐνταφίων μὴ ἀμοιρήσειν, εἰ ἐν αὐτοῖς ἀποθάνοι· καὶ γὰρ ἔν καὶ προκει-

προκείσεσθαι σὺν τῷ κόσμῳ τὸν νεκρὸν ȣ̓ πάνυ τι ἀδόξως. Ταῦτα τὸν Σωκράτην ὁ Ἀπολλόδωρος. Ὅδε ȣ̓κ ἠνέσχετο, ἀλλ' ἔφη πρὸς τοὺς ἀμφὶ τὸν Κρίτωνα, ϗ Σιμμίαν, ϗ Φαίδωνα.

" Καὶ πῶς ὑπὲρ ἡμῶν καλῶς Ἀπολλόδωρος
" ȣ̓τω δοξάζει, εἴγε αὐτὸς πεπίστευκεν, ὅτι μετὰ
" τὴν ἐξ Αθηναίων φιλοτησίαν, ϗ τὸ τȣ̃ φαρμάκȣ
" πόμα ἔτι ȣ̓τως ὄψεται Σωκράτην; εἰ γὰρ οἴε-
" ται τὸν ὀλίγον ὕστερον ἐρριμμένον ἐν ποσὶ ϗ κεισό-
" μενόν γ', ἐμὲ εἶναι, δῆλός ἐστί με ȣ̓κ εἰδώς.

ΚΕΦ. ε'.

Πῶς αἱ βεβλημέναι ἐν Κρήτῃ αἶγες θεραπεύονται.

Οἱ Κρῆτές εἰσι τοξεύειν ἀγαθοί· ϗ ȣ̃ν ϗ τὰς αἶγας βάλλȣσιν ἐπ' ἄκροις νεμομένας τοῖς ὄρεσιν· αἱ δὲ βληθεῖσαι παραχρῆμα τȣ̃ δικτάμνȣ βοτάνης διετραγον, ϗ ἅμα τῷ γεύσασθαι, ὅλα ἐκεῖνα τὰ βέλη ἐκπίπτει.

ΚΕΦ. ϛ'.

Περὶ μεγαλοφροσύνης τοῦ Θεμιστοκλέȣς.

Ἐπανῄει ποτὲ ἐκ διδασκαλείȣ παῖς ἔτι ὢν Θεμιστοκλῆς. Εἶτα προσιόντος Πεισιστράτȣ, ὁ παιδαγωγὸς ἔφη τῷ Θεμιστοκλεῖ, Μικρὸν ἐκχωρῆσαι τȣ̃ ὁδȣ̃, προσάγοντος τοῦ Τυράννȣ. Ὁ δὲ καὶ πάνυ ἐλευθερίως ἀπεκρίνατο· αὕτη γὰρ, εἶπεν, αὐτῷ

τῷ οὐχ' ἱκανὴ ὁδός; ὅτως ἄρα εὐγλωές τι καὶ μεγαλόφρον ἐνεφαίνετο τῷ Θεμιστοκλεῖ ἐξ ἐκείνου.

ΚΕΦ. ζ'.

Περὶ Τυράννων ἐκ τῶν Αἰσώπου.

Φρύγιος ὅτος λόγος· ἔστι γὰρ Αἰσώπου τοῦ Φρυγός. Ὁ δὲ λόγος φησὶ τὴν ὠῒν, ἐὰν αὐτῆς τὶς ἅψηται, βοᾶν, καὶ μάλα γε εἰκότως. Οὔτε γὰρ ἔρια ἔχει ὗς, ὅτε γάλα, ὅτε ἄλλό τι, ὠλιὼ τῶν χρεῶν ὠφελήμα ὂν ὀνειροπολεῖν τὸν θάνατον εἰδυῖαν εἰς ὅ, τι τῶν χρησίμων αὐτὴ πέφυκε λυσιτελὴς εἶναι. Ἐοίκασι δὲ τῇ ὑὶ τῇ Αἰσώπου οἱ Τύραννοι, ὑποπτεύοντες καὶ δεδοικότες πάντα. Ἴσασι γὰρ ὅτι, ὥσπερ αἱ ὗς, ὀφείλουσι καὶ ἐκεῖνοι τὴν ψυχὴν ὠᾶσι.

ΚΕΦ. η'.

Πῶς ὁ Ἀριστοτέλης Ἀλεξανδρον ὀργιζόμενον παῦναι ἐπείρασεν.

Ἀλέξανδρον Ἀριστοτέλης ὀργιζόμενον ὠραΰναι βυλόμενος, καὶ ὠαῦσαι χαλεπαίνοντα "πολ-
" λὰ, ταυτὶ ὠρὸς αὐτὸν γέγραφεν· ὁ θυμὸς, καὶ
" ἡ ὀργὴ ὐ ὠρὸς ἴσυς, ἀλλὰ ὠρὸς τοὺς κρείττο-
" νας γίνεται, σοὶ δ' ὐδεὶς ἴσος.

ΚΕΦ.

ΚΕΦ. ϑ'.

Περὶ γήρως.

Ἐπίχαρμόν φασι, πάνυ σφόδρα πρεσβύτην ὄντα, μετὰ τίνων ἡλικιώτων ἐν λέσχῃ καθήμενον, ἐπεὶ ἕκαστος τῶν παρόντων ἔλεγεν· ὁ μέν τις, ἐμοὶ πέντε ἔτη ἀπόχρη βιῶναι· ἄλλος δὲ, ἐμοὶ τρία· τρίτος δὲ εἰπόντος, ἐμοί γε τέσσαρα· ὑπολαβὼν ὁ Ἐπίχαρμος, "Ὦ βέλτιστοι, εἶπε, τί σπάζετε καὶ διαφέρεσθε ὑπὲρ ὀλίγων ἡμερῶν; πάντες γὰρ οἱ συνελθόντες, κατά τινα δαίμονα ἐπὶ δυσμαῖς ἐσμέν· ὥστε ὥρα πᾶσιν ἡμῖν τὴν πάχισην ἀνάγεσθαι, πρὸ τοῦ τινος καὶ ἀπολαῦσαι κακῆς πρεσβυτιδίου.

ΚΕΦ. ι'.

Περὶ τῆς Αἰνείου εὐσεβείας, καὶ τοῦ τῶν Ἑλλήνων ἐλέους πρὸς τοὺς Τρῶας.

Ὅτε ἑάλω τὸ Ἴλιον, οἰκτείραντες οἱ Ἀχαιοὶ τὰς τῶν ἁλισκομένων τύχας, καὶ πάνυ Ἑλληνικῶς τοῦτο ἐκήρυξαν, ἕκαστον τῶν ἐλευθέρων ἓν ὅ, τι καὶ βούλεται τῶν οἰκείων ἀποφέρειν αἰρόμενον. Ὁ οὖν Αἰνείας τοὺς πατρώους Θεοὺς βαστάσας ἔφερεν, ὑπεριδὼν τῶν ἄλλων. Ἡσθέντες οὖν ἐπὶ τῇ τοῦ ἀνδρὸς εὐσεβείᾳ οἱ Ἕλληνες, καὶ δεύτερον αὐτῷ κτῆμα συνεχώρησαν λαβεῖν· ὁ δὲ τὸν πατέρα πάνυ σφόδρα γεγη-

γεγηρακότα ἀναθέμενος ὤμοις ἔφερεν. Ὑπερεκπλαγέντες οὖν καὶ ἐπὶ τούτῳ οὐχ ἥκιστα, πάντων αὐτῷ τῶν οἰκείων κτημάτων ἀπέστησαν· "Ὁμολογοῦντές, "ὅτι πρὸς τοὺς εὐσεβεῖς τῶν ἀνθρώπων, καὶ τοὺς "Θεοὺς καὶ τοὺς γειναμένους δι' αἰδοῦς ἄγοντας, καὶ "οἱ φύσει πολέμιοι ἥμεροι γίνονται.

ΚΕΦ. ια'.

Περὶ Θεμιστοκλέους.

Θεμιστοκλῆς ὁ Νεοκλέους ἑαυτὸν εἴκαζε ταῖς δρυσὶ, λέγων, ὅτι ἐκείνας ὑπέρχονται οἱ ἄνθρωποι, καὶ δέονται αὐτῶν, ὅταν ὕῃ, στέγειν ἐκ τῶν κλάδων ποθοῦντες· ὅταν δὲ οὔσης εὐδίας παρίωσι, τίλλουσιν αὐτὰς, καὶ περικλῶσιν. Ὁ δὲ αὐτὸς ἔλεγεν. Εἰ μοί τις ὁδοὺς δύο δείξειε, τὴν μὲν εἰς ᾅδου φέρουσαν, τὴν δὲ ἐπὶ τὸ βῆμα, ἥδιον ἂν τὴν ἑτέραν ἦλθον τὴν εὐθὺ τοῦ ᾅδου.

ΚΕΦ. ιβ'.

Περὶ Λεωνίδου, καὶ τῶν τριακοσίων ἐθελοντὶ ὑπὲρ τῆς Ἑλλάδος ἀποθανόντων.

Ὁ Λεωνίδης ὁ Λακεδαιμόνιος, καὶ οἱ σὺν αὐτῷ τριακόσιοι, τὴν μαντευόμενον αὐτοῖς θάνατον εἵλοντο ἐν Πύλαις· καὶ ὑπὲρ τῆς Ἑλλάδος εὖ καὶ καλῶς ἀγωνισάμενοι, τέλους ἔτυχον εὐκλεοῦς καὶ δόξαν ἑαυτοῖς ἀθάνατον ἀπέλιπον, καὶ φήμην ἀγαθὴν δι' αἰῶνος.

ΚΕΦ.

ΚΕΦ. ιγ'.

Περὶ Φιλίππου ἐν νίκῃ ἐγκρατείας, καὶ τίνος ἐβούλετο ἀναμιμνήσκεσθαι.

Ἐν Χαιρωνείᾳ τοὺς Ἀθηναίους νίκῃ ἐνίκησε Φίλιππος· ἐπαρθεὶς δὲ τῇ εὐπραγίᾳ, ὅμως λογισμοῦ ἐκράτησε, καὶ οὐκ ὤρισε. Καὶ διὰ ταῦτα ᾤετο δεῖν αὐτὸν ὑπομιμνήσκεσθαι ὑπό τινος τῶν παίδων ἔωθεν, ὅτι Ἄνθρωπός ἐστιν, καὶ προσέταξε τῷ παιδὶ τοῦτο ἔχειν ἔργον. Καὶ ὃ πρότερόν φασιν οὔτε αὐτὸς προήει, ὅτέ τις τῶν δεομένων αὐτοῦ παρ αὐτὸν εἰσήει, πρὶν τοῦτο αὐτῷ τὸν παῖδα ἑκάστης ἡμέρας ἐκβοῆσαι τρίς. Ἔλεγε δὲ αὐτῷ, "Φίλιππε, Ἄνθρωπος εἶ."

ΚΕΦ. ιδ'.

Περὶ Λακεδαιμονίων γυναικῶν.

Αἱ Λακεδαιμονίων μητέρες, ὅσαι ἐπυνθάνοντο τοὺς παῖδας αὐτῶν ἐν τῇ μάχῃ κεῖσθαι, ἀλλ' αὐταί γε ἀφικόμεναι, τὰ τραύματα αὐτῶν ἐπεσκόπουν τά τε ἔμπροσθεν, καὶ τὰ ὄπισθεν. Καὶ εἰ ἦν φανερὸν τὰ ἐναντία, αἵδε χαιρόμεναι, καὶ σεμνὸν ἄρα καὶ βλοσυρὸν ὁρῶσαι, τοὺς παῖδας εἰς τὰς πατρῴας ἔφερον ταφάς· εἰ δὲ ἑτέρως εἶχον τῶν τραυμάτων, ἐνταῦθα αἰδούμεναι καὶ θρηνοῦσαι, καὶ ὡς ἔνι μάλιστα λαθεῖν ἀπεύθυναι, ἀπηλλάττοντο,

καταλιπόσαι τοὺς νεκροὺς ἐν τῷ πολυανδρίῳ θάψαι, ἢ λάθρα εἰς τὰ οἰκεῖα ἤρια ἐκόμιζον αὐτούς.

ΚΕΦ. ιδ'.

Περὶ Ἀλεξάνδρου Θεὸν ἑαυτὸν καλεῖσθαι βουλομένου.

Ἀλέξανδρος, ὅτε ἐνίκησε Δαρεῖον, καὶ τὴν Περσῶν ἀρχὴν κατεκτήσατο, μέγα ἐφ' ἑαυτῷ φρονῶν, καὶ ὑπὸ τῆς εὐτυχίας τῆς παρούσης αὐτὸν τότε ἐκθεσμένος, ἐπέστειλε τοῖς Ἕλλησι "Θεὸν αὐτὸν "ψηφίσασθαι." γελοίως γε. Οὐ γὰρ ἀπεροῦν ἐκ τῆς φύσεως οὐκ εἶχε, ταῦτα ἐκ τῶν ἀνθρώπων αἰτῶν ἐκεῖνος ἐκέρδαινεν. Ἄλλοι μὲν οὖν ἄλλα ἐψηφίσαντο, Λακεδαιμόνιοι δὲ ἐκεῖνα, ἐπειδὴ Ἀλέξανδρος βούλεται θεὸς εἶναι, ἔστω θεός. Λακωνικῶς τε ἅμα καὶ κατὰ τὸν παρόντα σφίσι τρόπον ἐλέγξαντες τὸ ἔμπληκτον οἱ Λακεδαιμόνιοι τοῦ Ἀλεξάνδρου.

ΚΕΦ. ιε'.

Πῶς ὁ Ἄννων ἐκθανοῦν ἑαυτὸν ἐβούλετο.

Ἄννων ὁ Καρχηδόνιος ὑπὸ τρυφῆς ἐν τοῖς ἀνθρώπων ὅροις οὐκ ἠθέλησε διαμένειν, ἀλλ' ἐπενόει φήμας ὑπὲρ ἑαυτοῦ καταπείρειν χρείττονας, ἢ κατὰ τὴν φύσιν, ἥνπερ οὖν ἔλαχεν. Ὀρνιθᾶς γὰρ τῶν ᾠδικῶν παμπόλλους πριάμενος, ἔτρεφεν ἐν σκότῳ αὐτούς, ἐν διδάσκων μάθημα λέγειν, "Θεός ἐστιν "Ἄννων.

Ἄννων." Ἐπεὶ δὲ ἐκεῖνοι μίαν φωνὴν ταύτην ἀ-
κούσες, ἐγκρατεῖς ταύτης ἐγένοντο, ἄλλον ἄλλοσε
διαφῆκεν, οἰόμενος διαρρεῦσαι τῶν ὀρνίθων τὸ ὑπὲρ
ἑαυτοῦ μέλος. Οἱ δὲ τὸ πλεῖον ἀπολύσαντες ἄπαιξ,
καὶ ἐλευθερίαν λαβόμενοι, καὶ ἐς ἥβην τὰ σώτροφα
αὐτοῖς ἐλθόντες, τὰ οἰκεῖα ἤδον, καὶ τὰ τῶν ὀρνίθων
ἐμεστόργουν, μακρὰ χαίρειν εἰπόντες Ἄννωνι, καὶ
μαθήμασι τοῖς ἐν τῇ δουλείᾳ.

ΚΕΦ. ιζ'.

Περὶ Ἀνλιγόνου βασιλέως πραότητος.

Ἀνλιγονόν φασι τὸν βασιλέα δημοτικὸν καὶ πρᾶον
γενέσθαι. Καὶ ὅτῳ μὲν σχολὴ τὰ κατ' αὐτὸν
εἰδέναι, καὶ αὐτῷ ἔκαστα ἐξετάζειν ὑπὲρ τοῦ ἀνδρὸς,
εἴσεται ἑτέρωθεν. Εἰρήσεται δ' ἂν αὐτοῦ καὶ πάνυ
πρᾶον καὶ ἄτυφον, ὃ μέλλω λέγειν. Ὁ Ἀνλίγονος
οὗτος ὁρῶν τὸν υἱὸν τοῖς ὑπηκόοις χρώμενον βιαιότε-
ρόν τε καὶ θρασύτερον· "Οὐκ οἶδα, εἶπεν, ὦ παῖ
"τὴν βασιλείαν ἡμῶν ἔνδοξον εἶναι δουλείαν; Καὶ τὰ
μὲν τοῦ Ἀνλιγόνου πρὸς τὸν παῖδα πάνυ ἡμέρως
ἔχει καὶ φιλανθρώπως. Ὅτῳ δὲ ἃ δοκεῖ ταύτη,
ἀλλ' ἐκεῖνός γε ἃ δοκεῖ μοι βασιλικὸν ἀνδρά τε εἰ-
δέναι, οὐδὲ πολιτικὸν, τυραννικῷ δὲ συμβιῶναι
μάλλον.

ΚΕΦ. ιη'.

Περὶ τ̃ σμικροτάτων τεθρίππων, καὶ διστίχου ἐλεγείου.

ΤΑῦτα ἄρα ἐστὶ τὰ θαυμαζόμενα Μυρμηκίδου τοῦ Μιλησίου, καὶ Καλλικράτους τοῦ Λακεδαιμονίου, τὰ μικρὰ ἔργα. Τέθριππα μὲν ἐποίησαν ὑπὸ μύιας καλυπτόμενα, καὶ ἐν Σησάμῳ δίστιχον ἐλεγεῖον χρυσοῖς γράμμασιν ἐπέγραψαν· ὧν, ἐμοὶ δοκεῖ, ὁ σπουδαῖος οὐδέτερον ἐπαινέσεται. Τί γαρ ἄλλο ἐστὶ ταῦτα, ἢ χρόνου παρανάλωμα;

ΚΕΦ. ιθ'.

Περὶ Θρασύλλου παραδόξου μανίας.

ΘΣάσυλλος ὁ Αἰξωνεὺς παράδοξον καὶ καινὴν ἐνόσησε μανίαν. Ἀπολίπων γὰρ τὸ Ἄστυ, καὶ κατελθὼν εἰς τὸν Πειραιᾶ, καὶ ἐνταῦθα οἰκῶν, τὰ πλοῖα τὰ καταίροντα ἐν αὐτῷ πάντα ἑαυτοῦ ἐνόμιζεν εἶναι, καὶ ἀπεγράφετο αὐτὰ, καὶ αὖ πάλιν ἐξέπεμπε· καὶ τοῖς περισωζομένοις, καὶ εἰσιοῦσιν εἰς τὸν λιμένα ὑπερέχαιρε. Χρόνους δὲ διετέλεσε πολλοὺς συνοικῶν τῷ ἀῤῥωστήματι τούτῳ. Ἐκ Σικελίας δὲ ἀναχθεὶς ὁ ἀδελφὸς αὐτοῦ, παρέδωκεν αὐτὸν ἰατρῷ ἰάσασθαι, καὶ ἐπαύσατο τῆς νόσου οὕτως. Ἐμέμνητο δὲ πολλάκις τῆς ἐν μανίᾳ διατριβῆς, καὶ ἔλεγεν μηδέποτε ἡσθῆναι τοσοῦτον, ὅσον τότε ἥδετο ἐπὶ ταῖς μηδὲν αὐτῷ προσηκούσαις ναυσὶν ἀποσωζομέναις.

ΚΕΦ.

ΚΕΦ. κ'.

Περὶ Καίσαρος, καὶ Πομπηΐου ἐπιμελείας ὑπὲρ τοῦ μανθάνειν ἃ προσῆκεν πρὸς τὸ καλῶς ἄρχειν.

Οὐκ ἀπῆξίου Καῖσαρ ἐπὶ Ἀρίστωνος θύρας φοιτᾶν· Πομπήιος δὲ ἐπὶ τὰς Κρατίππου. Οὐ γὰρ, ἐπεὶ μέγα ἐδυνάντο, ὑπερεφρόνουν τῶν τὰ μέγιστα αὐτοὺς ὠνησαμένων· ἀλλ' ἐδέοντο αὐτῶν, καίτοι τοσοῦτοι ὄντες τὴν ἀξίωσιν. Οὐ γὰρ ἄρχειν, ὡς ἔοικεν, ἀλλὰ καλῶς ἄρχειν ἐβούλοντο.

ΚΕΦ. κα'.

Ἰσμηνίας αἰσχύνης χωρὶς, πῶς Περσῶν βασιλεῖ προσεκύνησεν.

Ἰσμηνίου τοῦ Θηβαίου σοφὸν ἅμα καὶ Ἑλληνικὸν, οὐκ ἂν ἀποκρυψαίμην ἔργον. Πρεσβεύων ὅτος ὑπὲρ τῆς πατρίδος πρὸς βασιλέα τῶν Περσῶν, ἀφίκετο μὲν, ἐβούλετο δὲ αὐτὸς ὑπὲρ ὧν ἦκεν ἐντυχεῖν τῷ Πέρσῃ. Ἔφατο οὖν πρὸς αὐτὸν ὁ Χιλίαρχος, ὁ καὶ τὰς ἀγελίας εἰσκομίζων τῷ βασιλεῖ καὶ τὰς δεομένους εἰσάγων· ἀλλ' ὦ ξένε Θηβαῖε· ἔλεγε δὴ ταῦτα παίζων δι' ἑρμηνέως. Τιθραύστης δὲ ἦν ὄνομα τῷ Χιλιάρχῳ· νόμος ἐστὶν ὑπιχώριος Πέρσαις, τὸν εἰς ὀφθαλμὸς ἐλθόντα τοῦ βασιλέως, μὴ πρότερον λόγου μεταλαγχάνειν, πρὶν ἢ προσκυνῆσαι αὐτόν. Εἰ τοίνυν αὐτὸς ἀφ' ἑαυτοῦ συγγενέσθαι θέλεις

θέλεις αὐτῷ ὥρα σοὶ τὰ ἐκ τοῦ νόμου δρᾷν, εἰ δὲ μὴ, τὸ αὐτό σοι τοῦτο καὶ δι' ἡμῶν ἀνυσθήσεται, καὶ μὴ προσκυνήσαντι. Ὁ τοίνυν Ἰσμηνίας, ἄγε με, εἶπε. Καὶ προσελθὼν καὶ ἐμφανὴς τῷ βασιλεῖ γενόμενος περιελόμενος τὸν δακτύλιον, ἔρριψεν ἀδηλως παρὰ τοὺς πόδας, ὃν ἔτυχε φορῶν, καὶ ταχέως ἐπικύψας, ὡς δὴ προσκυνῶν, πάλιν ἀνείλετο αὐτὸν καὶ δόξαν μὲν ἀπέστειλε τῷ Πέρσῃ προσκυνήσεως· οὐ μὴν ἔδρασεν οὐδὲν τῶν ἐν τοῖς Ἕλλησιν αἰσχύνην φερόντων. Πάντα οὖν ὅσα ἐβουλήθη κατεπράξατο, οὐδὲ ἠτύχησέ τι ἐκ τοῦ Πέρσου.

ΚΕΦ. κβ'.

Περὶ Ζεύξιδος Ἑλένης εἰκόνος, καὶ Νικοστράτου ζωγράφου.

Ζεῦξις ὁ Ἡρακλεώτης ἔγραψε τὴν Ἑλένην. Νικόστρατος οὖν ὁ ζωγράφος ἐξεπλήττετο τὴν εἰκόνα, καὶ τεθηπὼς τὸ γράμμα δῆλος ἦν. Ἤρετο οὖν τις αὐτὸν προσελθὼν, τὶ δὴ παθὼν οὕτω θαυμάζῃ τὴν τέχνην; ὁ δὲ, οὐκ ἄν με ἠρώτησας, εἶπεν, εἰ τοὺς ἐμοὺς ὀφθαλμοὺς ἐκέκτησο. Ἐγὼ δ' ἂν φαίην τοῦτο καὶ ἐπὶ τῶν λόγων· ἀλλ' εἴ τις ἔχει πεπαιδευμένα ὦτα, ὡσπεροῦν οἱ χειρουργοὶ τεχνικὰ ὄμματα.

ΚΕΦ. κγ'.

Αἰσχύλῳ ἀσεβείας κριθεὶς, ὡς διεσώθη.

Αἰσχύλος ὁ τραγῳδὸς ἐκρίνετο ἀσεβείας ἐπί τινι δράματι. Ἑτοίμων δ' ὄντων Ἀθηναίων βάλλειν αὐτὸν λίθοις, Ἀμυνίας ὁ νεώτερος ἀδελφὸς ἀποκαλυψάμενος τὸ ἱμάτιον, ἔδειξε τὸν ὦμον ἔρημον τῆς χειρός. Ἔτυχε δὲ, ἀριστεύων ἐν Σαλαμῖνι ὁ Ἀμυνίας, ἀποβεβληκὼς τὴν χεῖρα, καὶ πρῶτος Ἀθηναίων τῶν ἀριστείων ἔτυχεν. Ἐπεὶ δὲ εἶδον οἱ δικασταὶ τοῦ ἀνδρὸς τὸ πάθος, ὑπεμνήσθησαν τῶν ἔργων αὐτοῦ, καὶ ἀφῆκαν τὸν Αἰσχύλον.

ΚΕΦ. κδ'.

Περὶ μεταβολῆς Τύχης.

Εἶτα τίς οὐκ οἶδε τὰς τῆς τύχης μεταβολὰς καὶ ὀξυῤῥόπους καὶ ταχείας; Λακεδαιμόνιοι γοῦν Θηβαίων ἄρξαντες, αὐτοὶ πάλιν ὑπ' ἐκείνων ἔτως ἐχειρώθησαν, ὡς τοὺς Θηβαίους μὴ μόνον εἰς Πελοπόννησον ἀφικέσθαι, ἀλλὰ γὰ καὶ τὸν Εὐρώταν διελθεῖν, καὶ τὴν τῶν Λακεδαιμονίων τεμεῖν χώραν. Καὶ ὀλίγου καὶ τὴν πόλιν κατέλαβον, εἰ μὴ Ἐπαμινώνδας ἔδεισε, μὴ Πελοποννήσιοι πάντες συμπνεύσωσι, καὶ ὑπὲρ τῆς Σπάρτης ἀγωνίσωνται.

ΚΕΦ.

ΚΕΦ. κε'.

Περὶ Ἀλεξάνδρου τοῦ Φεραίων τυράννου ὠμότητος.

Ἀλέξανδρος ὁ Φεραίων τύραννος ἐν τοῖς μάλιστα ἔδοξεν ὠμότατος εἶναι. Θεοδώρου δὲ τοῦ τῆς τραγῳδίας ποιητοῦ ὑποκρινομένου τὴν Ἀερόπην σφόδρα ἐμπαθῶς, ὥδε εἰς δάκρυα ἐξέπεσεν, εἶτα ἐξανέστη τοῦ θεάτρου. Ἀπολογούμενος δὲ ἔλεγεν τῷ Θεοδώρῳ, ὡς ὑ καταφρονήσας ὑδὲ ἀτιμάσας αὐτὸν ᾠχετο, "ἀλλ' αἰδούμενος, εἰ τὰ μὲν ὑποκριτοῦ "πάθη οἷός τε ἦ ἐλεεῖν, τὰ δὲ τῶν ἑαυτοῦ πο- "λιτῶν οὐχί.

ΚΕΦ. κς'.

Ὅτι ἀμνησίκακος ὁ Φωκίων.

Φωκίων ὁ τοῦ Φώκου, πολλάκις στρατηγήσας, κατεγνώσθη θανάτῳ, καὶ ἦν ἐν τῷ δεσμωτηρίῳ, καὶ ἔμελλε πιεῖσθαι τὸ κώνειον. Ἐπεὶ δὲ ὤρεξεν ὁ δήμιος τὴν κύλικα, οἱ προσήκοντες ἤροντο εἴ τι λέγοι πρὸς τὸν υἱόν. Ὁ δέ, "ἀπισκήπτω "αὐτῷ μηδὲν Ἀθηναίοις μνησικακήσειν ὑπὲρ τῆς "παρ' αὐτῶν φιλοτησίας, ἧς νῦν πίνω. Ὅσις δὲ οὐκ ἐπαινεῖ καὶ ὑπερθαυμάζει τὸν ἄνδρα, δοκεῖ μοι μέγα ὁ τοιοῦτος ἐννοεῖν οὐδέν.

ΚΕΦ.

ΚΕΦ. κζ'.

Περὶ Ἀναξαγόρᾳ ἀνδρείως τὸν τῶν τέκνων θάνατον ἐνεγκόντος.

ΑΝαξαγόρα τις τῷ Κλαζομενίῳ ἀπαδάζοντι πρὸς τὰς ἑταίρας προσελθὼν, ἔφη, τεθνηκέναι οἱ τὰς δύο παῖδας, ἅπερ ἦν εἶχε μόνους ὁ Ἀναξαγόρας. Ὁ δὲ μηδὲν μεταραχθεὶς εἶπεν, "Ηδειν θνητὰς γεγυνηκώς.

ΚΕΦ. κη'.

Ὅτι Ταχὼς δι' ἀδροτέραν δίαιταν ἐτελεύτησε.

ΤΑχὼς ὁ Αἰγύπτιος, ἕως μὲν ἐχρῆτο τῇ ὀπτιχωρίῳ διαίτῃ, καὶ εὐτελῶς διεβίω, ὑγιεινότατος ἀνθρώπων διῆγεν. Ἐπεὶ δὲ εἰς Πέρσας ἀφίκετο, καὶ εἰς τὴν ἐκείνων τρυφὴν ἐξέπεσε, τὸ ἄηθες τῶν σιτίων οὐκ ἐνεγκὼν, ὑπὸ δυσεντερίας τὸν βίον κατέτρεψε, τὸν τρυφῆς ἀλλαξάμενος θάνατον.

ΚΕΦ. κθ'.

Παρὰ τίνος ἔμαθον τὰ νόμιμα οἱ Αἰγύπτιοι· καὶ περὶ τῶν ἐκείνων δικαστῶν.

ΑΙγύπτιοί φασι παρ' Ἑρμοῦ τὰ νόμιμα ἐκμεμαθηκέναι. Οὕτω δὲ καὶ ἕκαστοι τὰ παρ' ἑαυτοῖς σεμνύνειν προήρηνται. Δικασταὶ δὲ τὸ ἀρχαῖον

παρ' Αἰγυπτίοις ἱερεῖς ἦσαν, ἦν δὲ τούτων ἄρχων ὁ πρεσβύτατος, καὶ ἐδίκαζεν ἅπαντας. Ἔδει δὲ αὐτὸν εἶναι δικαιότατον ἀνθρώπων, καὶ ἀφειδέστατον. Εἶχε δὲ καὶ ἄγαλμα περὶ τὸν αὐχένα ἐκ Σαπφείρου λίθου, καὶ ἐκαλεῖτο ἄγαλμα Ἀλήθεια. "Ἐγὼ δὲ ἠξίουν μὴ λίθου πεποιημένην, καὶ εἰ- "κασμένην τὴν Ἀλήθειαν περιφέρειν τὴν δικασὴν, "ἀλλ' ἐν αὐτῇ τῇ ψυχῇ ἔχειν αὐτήν.

ΚΕΦ. λ'.

Περὶ Διονυσίου, καὶ Φιλίππου.

Συνουσία ποτὲ ἐγένετο Διονυσίῳ τῷ δευτέρῳ, καὶ Φιλίππῳ τῷ Ἀμύντου. Πολλοὶ μὲν ἦν, ὡς εἰκὸς, καὶ ἄλλοι λόγοι ἐπέρρεον, ἐν δὲ τοῖς καὶ ἐκεῖνο. Ἤρετο ὁ Φίλιππος τὸν Διονύσιον πῶς τοσαύτην παρὰ τοῦ πατρὸς λαβὼν ἀρχὴν, εἶτα ἀπεστώσατο αὐτήν. Ὁ δὲ ἀπεκρίνατο ὅτι οὐκ ἔχω μέλους, "ὅτι τὰ μὲν ἄλλά μοι κατέλιπεν ὁ πατὴρ· τὴν δὲ τύχην, ᾗ ταῦτα ἐκτήσατο καὶ διεφύλαξεν, οὐκ ἔλι.

ΚΕΦ. λα'.

Κρητῶν νόμου περὶ μαθημάτων.

Κρῆτες δὲ τοὺς παῖδας τοὺς ἐλευθέρους μανθάνειν τοὺς νόμους ἐκέλευον μετά τινος μελῳδίας, ἵνα ἐκ τῆς μουσικῆς ψυχαγωγῶνται, καὶ εὐπειθέστερον αὐτοὺς

αὐτὰς τῇ μνήμῃ ϖαραλαμβάνωσι, καὶ ἵνα μή τι τῶν κεκωλυμένων ϖοιῶσιν, ἀγνοίᾳ ϖεποιημένην ἀπολογίαν ἔχωσι. Δεύτερον δὲ μάθημα ἔταξαν, τὰς τῶν Θεῶν ὕμνους μανθάνειν· τρίτον, τὰ τῶν ἀγαθῶν ἀνδρῶν ἐγκώμια.

ΚΕΦ. λβ'.

Πῶς ὁ Σωκράτης ἐθάρσυνε τὸν Ἀλκιβιάδην, ὥστε μηκέτι μᾶλλον τοῦ πέπλου εὐλαβεῖσθαι τὸν δῆμον.

ΚΑΙ ταῦτα Σωκράτης πρὸς Ἀλκιβιάδην. Ὁ μὲν ἠγωνία, καὶ ἐδεδίει πάνυ σφόδρα εἰς τὸν δῆμον ϖαρελθεῖν, τὸ μειρακίων· ἐπιθαρσύνων δὲ αὐτὸν, καὶ ἐγείρων ὁ Σωκράτης, ἃ καταφρονεῖς, εἶπεν, ἐκείνα τοῦ σκυτοτόμα; τὸ ὄνομα εἰπὼν αὐτοῦ. Φήσαντος δὲ τοῦ Ἀλκιβιάδου, ὑπολαβὼν πάλιν ὁ Σωκράτης, ἆρ' οὖν ἐκείνα τοῦ ἐν τοῖς κύκλοις κηρύττοντος; ἢ ἐκείνα τοῦ σκιωῤῥάφα; ὁμολογοῦντος δὲ τοῦ Κλεινίου μειρακίου, ἀκοῦν, ἔφη ὁ Σωκράτης, ὁ δῆμος ὁ Ἀθηναίων ἐκ τούτων ἤθροισται; καὶ εἰ τῶν καθ' ἕνα καταφρονεῖς, καταφρονητέον ἄρα καὶ τῶν ἠθροισμένων. Μεγαλοφρόνως ταῦτα ὁ τοῦ Σωφρονίσκου καὶ τοῦ Φαιναρέτης, τοῦ τοῦ Κλεινίου καὶ τοῦ Δεινομάχης διδάσκων.

ΚΕΦ. λγ'.

Ὅτι οἱ Ῥωμαῖοι τὴν τοῦ ἰατροῦ τοῦ Πύῤῥου βουλὴν οὐ προσήκαντο.

Κινέας ὁ Πύῤῥου ἰατρός, φασι, πρὸς τὴν βουλὴν τῶν Ῥωμαίων ἔγραψε δι' ἀπορρήτων, καὶ ἤτει χρήματα, καὶ ὑπισχνεῖτο ἀποκτείνειν φαρμάκοις τὸν Πύῤῥον. Οἱ δὲ οὐ προσήκαντο τὴν ὑποσχεσιν. "Δι' "ἀρετῆς γὰρ ἴσασι Ῥωμαῖοι ἀγαθοὶ εἶναι, οὐ μὴν "διὰ τέχνης καὶ βουλῆς καταγωνίσασθαι τοὺς "ἐχθρούς. Ἀλλὰ καὶ αὐτῷ Πύῤῥῳ τὴν γνώμην τοῦ Κινέου ἐξέφηναν.

ΚΕΦ. λδ'.

Πῶς εἶχε πρὸς τὸν δῆμον τὸν Ἀθηναίων ὁ Περικλῆς.

Εἶτα οὐκ ἦν δήμου τοῦ Ἀθηναίων θεραπευτικὸς ὁ Ξανθίππου Περικλῆς; ἐμοὶ μὲν δοκεῖ. Ὁσάκις γὰρ ἔμελλεν εἰς τὴν ἐκκλησίαν παριέναι, ηὔχετο μηδὲν αὐτῷ ῥῆμα βουλάσαι τοιοῦτον, ὅπερ ἂν ἔμελλεν ἐκτραχύνειν τὸν δῆμον, πρόσαντες αὐτῷ γνώμην, καὶ ἀβέλτερον δόξαν.

ΚΕΦ. λε'.

Περὶ τὰς τὰς τῶν Ἐφόρων θρόνας ἀσβόλῳ χριομένων.

Κλαζομενίων τινὲς εἰς τὴν Σπάρτην ἀφικόμενοι, καὶ ὕβρει καὶ ἀλαζονείᾳ χρώμενοι, τοὺς τῶν Ἐφόρων

Ἐφόρων θρόνους, ἔνθα εἰώθασι καθήμενοι χρηματίζειν, καὶ τῶν πολιτικῶν ἕκαστα διατίθειν, ἀλλὰ τότε γε τὸς θρόνους ἀσβόλῳ κατέχρισαν. Μαθόντες δὲ οἱ Ἔφοροι, οὐκ ἠγανάκτησαν, ἀλλὰ τὸν δημόσιον κήρυκα καλέσαντες, προσέταξαν αὐτὸν δημοσίᾳ κηρύξαι τοῦτο δὴ τὸ θαυμαζόμενον· "Ἐξ-
"έσω Κλαζομενιοὶς ἀρχημονεῖν.

ΚΕΦ. λς'.

Περὶ Ἱέρωνος καὶ Θεμιστοκλέους.

ΘΕμιστοκλῆς Ἱέρωνα ἥκοντα εἰς Ὀλύμπια, Ὀλυμπίων ἀγομένων, ἵππους ἀγοντα, εἶπε τῆς ἀγωνίας, εἰπών· "Τὸν μὴ μεταλαβόντα τοῦ με-
"γίστου τῶν κινδύνων, τῶν παρηγύρεων μεταλαμ-
"βάνειν μὴ δεῖν. Καὶ ἐπῃνέθη Θεμιστοκλῆς.

ΚΕΦ. λζ'.

Σύγκρισις Δημητρίου καὶ Τιμοθέου στρατηγῶν.

ΕΙΤΑ τίς ἀμείνων ἦν στρατηγεῖν, Δημήτριος ὁ Πολιορκητὴς, ἢ Τιμόθεος ὁ Ἀθηναῖος; ἐγὼ μὲν ἐρῶ τὸν τῶν ἀμφοτέρων τρόπον· ἔνεστι δ' ὑμῖν προτιμῆσαι τὸν ἕτερον. Δημήτριος μὲν βίᾳ, καὶ παρανεξίᾳ, καὶ λυπῶν τὰ μέγιστα, καὶ ἀδικῶν ἥρει τὰς πόλεις, μηχανὰς προσάγων καὶ κατασείων, καὶ ὑπορύττων τὰ τείχη· Τιμόθεος δὲ πείθων, καὶ διδάσκων λόγῳ, ὅτι λυσιτελέστερόν ἐστι τῶν Ἀθηναίων ἀρχεῖν.

ΚΕΦ.

ΚΕΦ. λη'.

Ἀλεκτρυόνων ἀγὼν πόθεν ἀρχὴν ἔλαβεν.

ΜΕΤΑ τὴν κατὰ τῶν Περσῶν νίκην, Ἀθηναῖοι νόμον ἔθεντο, Ἀλεκτρυονας ἀγωνίζεσθαι δημοσίᾳ ἐν τῷ θεάτρῳ μιᾶς ἡμέρας τοῦ ἔτους. Πόθεν δὲ τὴν ἀρχὴν ἔλαβεν ὅδε ὁ νόμος, ἐρῶ. Ὅτε Θεμιστοκλῆς ἐπὶ τοὺς Βαρβάρους ἐξῆγε τὴν πολιτικὴν δύναμιν, ἀλεκτρυόνας ἐθεάσατο μαχομένους· ὧδε ἀργῶς αὐτοὺς εἶδεν. Ἐπέστησε δὲ τὴν στρατιὰν, καὶ ἔφη πρὸς αὐτούς· "Ἀλλ' ὅτοι μὲν ὅτε ὑπὲρ πα-"τρίδος, ὅτε ὑπὲρ πατρώων θεῶν, ὧδε μὴν ὑπὲρ "προγονικῶν ἡρώων κακοπαθοῦσιν, ὧδε ὑπὲρ ἐλευ-"θερίας, ὧδε ὑπὲρ παίδων, ἀλλ' ὑπὲρ τοῦ μὴ ἡτ-"τηθῆναι ἑκάτερος, μηδὲ εἶναι θατέρῳ τὸν ἕτερον. Τὸ τοίνυν γενόμενον αὐτοῖς σωφρόνημα τότε εἰς ἀρετὴν, ἐβουλήθη διαφυλάττειν καὶ εἰς τὰ ὅμοια ἔργα ὑπόμνησιν.

ΚΕΦ. λθ'.

Πῶς τινες τὰ σκώμματα ἤνεγκαν.

ΤΑ σκώμματα καὶ αἱ λοιδορίαι οὐδέν μοι δοκεῖ δύνασθαι. "Ἐὰν μὲν σπουδαίας γνώμης λά-"βωνται, καταλέλυνται· ἐὰν δὲ ἀγεννοῦς καὶ ταπει-νῆς, ἴσχυσε. Καὶ ὁ μόνον ἐλύπησε πολλάκις, ἀλ-λὰ καὶ ἀπέκτεινε. Τούτων ἀπόδειξις ἐκεῖνα ἔσω· Σωκράτης μὲν ὃν κωμῳδούμενος, ἐγέλα· Πολύα-γρος δὲ ἀπήγξατο.

ΚΕΦ.

ΚΕΦ. μ΄.

Ὅτι μηδεὶς τῶν Βαρβάρων ἄθεος.

ΚΑΙ τίς οὐκ ἂν ἐπήνεσε τ̃ τῶν Βαρβάρων σοφίαν; εἴγε μηδεὶς αὐτῶν εἰς ἀθεότη̃α ἐξέπεσ', μηδὲ ἀμφιβάλλυσι περὶ θεῶν, ἆρά γέ εἰσιν, ἢ οὐκ εἰσὶ· καὶ, ἆρά γε ἡμῶν φροντίζυσιν, ἢ οὔ. Οὐδεὶς γὰρ ἔννοιαν ἔλαβε τοιαύτην, οἵαν ὁ Εὐήμερος ὁ Μεσσήνιος, ἢ Διογένης ὁ Φρὺξ, ἢ Ἵππων, ἢ Διαγόρας, ἢ Σωσίας, ἢ Ἐπίκυρος· ὅτε Ἰνδὸς, ὅτε Αἰγύπτιος. Λέγουσι δὲ τῶν Βαρβάρων οἱ προειρημένοι, κ̀ εἶναι θεοὺς, κ̀ προνοεῖν ἡμῶν, κ̀ προσημαίνειν τὰ μέλλοντα, κ̀ διὰ ὀρνίθων, κ̀ διὰ συμβόλων, κ̀ διὰ σπλάγχνων, κ̀ δι' ἄλλων τινῶν μαθημάτων τε καὶ διδαγμάτων. Ἄπεστιν ἐστὶ τοῖς ἀνθρώποις διδασκαλία τῆς παρὰ τ̃ Θεῶν εἰς αὐτὺς προνοίας· καὶ δι' ὀνείρων δὲ λέγυσι, καὶ δι' αὐτῶν τῶν ἀστέρων πολλὰ προδηλοῦσ. Καὶ ὑπὲρ τύτων ἰσχυρὰν ἔχοντες τὴν πίστιν, θύυσί τε καθαρῶς, καὶ ἁγνεύυσιν ὁσίως, καὶ τελετὰς τελοῦσι, καὶ Ὀργίων φυλάττυσι νόμον, καὶ τὰ ἄλλα πράττυσιν· ἐξ ὧν, ὅτι τοὺς Θεοὺς ἰσχυρῶς καὶ σέβυσι καὶ τιμῶσιν, ὡμολόγη̃).

ΚΕΦ. μα΄.

Περὶ Ἀλεξάνδρυ, Καὶ τῆς δ̃ Πάριδος λύρας.

ΟΜΕΝ Ἀλέξανδρος εἰς τ̃ Ἴλιον ἦλθεν. Ἀναστοπυῦντι δὲ αὐτῷ φιλοπόνως, τ̃ τις Τρώων προσελθὼν

προσελθὼν τ̃ λύραν ἐδείκνυεν Ἀλεξάνδρȣ· ὁ δ̃ ἔφη, Προτιμησαίμην ἂν μᾶλλον ἰδεῖν τὴν Ἀχιλλέως ὑπέρ γε τ̃ Ἀλεξάνδρȣ. Ἐπόθει γὰρ κτῆμα ἀγαθȣ̃ στρατιώτου, ᾧ συνῆδεν ἐκεῖνος τὰ τῶν ἀγαθῶν ἀνδρῶν κλέα. Τȣ̃ δ̃ Πάριδος τί ἄρα ᾖσεν ἡ λύρα, εἰ μὴ μέλη μοιχικὰ, κ̃ οἷα αἱρεῖν γυναῖκας κ̃ θέλγειν;

ΚΕΦ. μβ'.

Περὶ μεγαλοφροσύνης Κράτητος.

Κράτης ὁ Θηβαῖος, τά τε ἄλλα μεγαλόφρων ὢν πεφώραται, καὶ καταφρονητικὸς τῶν ὑπὸ τοῦ πλήθȣς θαυμαζομένων· ἀτὰρ ȣ̃ν κ̃ χρημάτων, κ̃ πατρίδος· ὅτι μὲν ȣ̃ν τ̃ ȣ̓σίας ἀπέστη τοῖς Θηβαίοις, τοῦτο μὲν κ̃ εἰς πάντας ἐξεφοίτησε· τὸ δ̃ ἕτερον αὐτοῦ ȣ̓ πᾶσι γνώριμον. Ἔστι δὲ ἐκεῖνο. "Ἀπαλ-
"λαττόμενος τ̃ Θηβῶν οἰκισθεισῶν, πάλιν, ἔφη· ȣ̓
"δέομαι πόλεως, ἣν Ἀλέξανδρος κατασκάψει, ἢ
"ἄλλος.

ΚΕΦ. μγ'.

Περὶ Ὀλυμπιάδος ἐπὶ τῷ Ἀλεξάνδρῳ τεθνηκότι ἐ ἀτάφῳ δυσχεραινȣ́σης.

Ὀλυμπιάς ἡ Ἀλεξάνδρȣ, πυθομένη ὅτι πολὺν χρόνον ὁ παῖς αὐτῆς ἄταφος μένει, βαρὺ ἀναστένȣσα, κ̃ θρηνȣ̃σα εὖ μάλα λιγέως· "Ω τέκ-
"νον, εἶπεν, ἀλλὰ σὺ μὲν ȣ̓ρανȣ̃ μετασχεῖν βȣλό-
"μενος, κ̃ τοῦτο σπεύδων, νῦν ȣ̓δὲ τῶν κοινῶν
"δήπου,

"δήπου, ϗ ἴσων πᾶσιν ἀνθρώποις μεταχειν ἔχεις,
"γῆς τε ἅμα ϗ ταφῆς." Καὶ τὰς ἑαυτης τύχας
οἰκτείρασα, ϗ τὸ τοῦ παιδὸς τελυφωμένον ἐλέγξασα.

ΚΕΦ. μδ'.

Περὶ Φιλοκαλίας Ξενοφῶντος.

ΞΕνοφῶντι ἔμελε τῶν ἄλλων απαιδαίων, ϗ ὅν ϗ ὅπλα καλὰ ἔχειν. Νικῶντι γὰρ ἔλεγε τοὺς πολεμίους, τ' καλλίστην στολὴν ἁρμόττειν· ϗ ἀποθνήσκοντα ἐν τῇ μάχῃ, κεῖσθ καλῶς ἐν καλῇ τῇ πανοπλίᾳ. Τῷ γὰρ ἀνδρὶ τῷ γυναίῳ ταῦτ' εἶναι τὰ ἐντάφια, τὰ ὡς ἀληθῶς κοσμοῦντα αὐτόν. Λέγε δ' ὅν ὁ Γρύλλου τὴν μὲν ἀσπίδα Ἀργολικὴν ἔχειν, τ' δὲ θώρακα Ἀττικὸν, τὸ δὲ κράνος Βοιωτιουργὲς, τὸν δὲ ἵππον Ἐπιδαύριον. Φιλοκάλου δὲ ἔγωγε ἂν εἶναι φαίην τὰ τοιαῦτα ἀνδρὸς, ϗ ἀξιοῦντος ἑαυτὸν τ' καλῶν.

ΚΕΦ. με'.

Ὅτι ὁ Δημοσθένης, καλοῦντος τοῦ Διογένους, εἰς καπηλεῖον οὐκ ἤθελεν εἰσπέναι.

ΗΡίσατ ποτὲ Διογένης ἐν καπηλείῳ. Εἶτα παριόντα Δημοσθένη σκάλει· τοῦ δὲ μὴ ὑπακόσαντος, Αἰσχύνῃ, ἔφη, Δημόσθενες, παρελθεῖν εἰς καπηλεῖον; ϗ μὴν ὁ κύριός σου καθ' ἑκάστην

ἡμέραν ἐνθάδε εἴσεισι· τοὺς δημότας λέγων καὶ τοὺς καθ' ἕνα. Δηλῶν, ὅτι οἱ Δημηγόροι καὶ οἱ Ῥήτορες δοῦλοι τοῦ πλήθους εἰσί.

ΚΕΦ. μϛ'.

Περὶ Καλάνου ἑκουσίας τελευτῆς.

Αξιον δὲ καὶ τὸ Καλάνου τοῦ Ἰνδοῦ τέλος ἐπαινέσαι, ἄλλος δ' ἂν εἶπεν ὅτι καὶ ἀγασθῆναι. Ἐγένετο δὲ τοιοῦτον. Κάλανος ὁ Ινδῶν σοφιστὴς μακρὰ χαίρειν φράσας Ἀλεξάνδρῳ καὶ Μακεδόσι, καὶ τῷ βίῳ, ὅτε ἐβουλήθη ἀπολύσαι αὐτὸν ἐκ τοῦ τοῦ σώματος δεσμῶν ἐγεγένητο μὲν ἡ πυρὰ ἐν τῷ καλλίστῳ προαστείῳ τοῦ Βαβυλῶνος, καὶ ἦν τὰ ξύλα αὖα, καὶ πρὸς εὐωδίαν εὖ μάλα ἐπίλεκτα, κέδρου, καὶ θύου, καὶ κυπαρίττου, καὶ μυρσίνης, καὶ δάφνης· αὐτὸς δὲ γυμνασάμενος γυμνάσιον τὸ εἰωθὸς, (ἦν δὲ αὐτὸ δρόμος) ἀνελθὼν ἐπὶ μέσης τοῦ πυρᾶς ἔστη ἐστεφανωμένος καλάμου κόμη. Καὶ ὁ μὲν Ἥλιος αὐτὸν προσέβαλλεν, ὁ δὲ αὐτὸν προσεκύνει. Καὶ τοῦτο ἦν τὸ σαύθημα εἰς τὸ ἐξάπτειν τὴν πυρὰν τοῖς Μακεδόσι· καὶ τὸ μὲν ἐδρᾶτο. Ὁ δὲ περιληφθεὶς τῆς φλογὸς ἀτρέστως εἱστήκει, καὶ οὐ πρότερον ἀνετράπη, πρινὴ διελύθη. Ἐνταῦθά φασιν ἐκπλαγῆναι καὶ τὴν Ἀλέξανδρον, καὶ εἰπεῖν, ὅτι μείζονας ἀντιπάλους αὐτοῦ Κάλανος κατηγωνίσατο. Ὁ μὲν γὰρ πρὸς Πῶρον, καὶ Ταξίλην, καὶ Δαρεῖον διήθλησεν· ὁ δὲ Κάλανος πρὸς τὸν πόνον, καὶ τὴν θάνατον.

ΚΕΦ.

ΚΕΦ. μζ'.

Διὰ τί ὁ Ἀριστοτέλης ἀπέλιπε τὰς Ἀθήνας.

Ἀριστοτέλης, ὅτε ἀπέλιπε τὰς Ἀθήνας δέει τῆς κρίσεως, πρὸς τὸν ἑρόμβιον αὐτὸν, τίς ἐστιν ἡ τῶν Ἀθηναίων πόλις, ἔφη, Παγκάλη· ἀλλ' ἐν αὐτῇ, Ὄχνη ἐπ' ὄχνῃ γηράσκει, σῦκον δ' ἐπὶ σύκῳ· σὺ δὲ συκοφάνλας λέγων. Καὶ πρὸς τὸν ἑρόμβιον, διὰ τί ἀπέλιπε τὰς Ἀθήνας, ἀπεκρίνατο, ὅτι ὁ βάλεται Ἀθηναίους δὶς ἐξαμαρτεῖν εἰς Φιλοσοφίαν τὸ περὶ Σωκράτην πάθος αἰνιττόμενος, καὶ τὸν κατ' αὐτὸν κίδυνον.

ΚΕΦ. μη'.

Περὶ Τιμοθέου, καὶ ἄλλων ὀδὲν ὠφελησθέντων ὑπ' ἰδίας ἀνδραγαθίας.

Τιμόθεον τὰ μὲν πρῶτα ἐπήνων Ἀθηναῖοι· ἐπεὶ δὲ ἔδοξεν ἁμαρτεῖν ἃ ἔδοξεν, ἡ φθάνουσι αὐτὸν ἀνδραγαθία ἀλλ' ὀδὲ ὀλίγον ἔσωσεν, ὀδὲ μὴν αἱ τῶν προγόνων ἀρεταί. Θεμιστοκλῆς γὴ ὀδὲν ὤνητο ὅτε ἐκ τῆς ναυμαχίας τῆς πρὸς Σαλαμῖνα, ὅτε ἐκ τῆς πρεσβείας τῆς εἰς Σπάρτην. Λέγω γὴ ἣν ἐπρέσβευσε, κλέπτων τὰ τῶν Ἀθηναίων τείχισιν. Ἔφυγε γὰρ κἀκεῖνος ὁ τὰς Ἀθήνας μόνον, ἀλλὰ καὶ τὴν Ἑλλάδα πᾶσιν. Καὶ Παυσανίαν γὴ τὸν Λακεδαιμόνιον ὀδὲν ὤνησεν ἡ ἐν Πλαταιαῖς νίκη. Ὑπὲρ δὲ ὧν ἐν Βυζαντίῳ ἐκαινούργα, καὶ ἐνόσῳ Περσικὰ, ὑπὲρ

τούτων διέφθειρε καὶ τὴν χάριν τὴν ἐπὶ τοῖς πρώτοις. Φωκίωνα δὲ ἡ εὐφημία ἡ καλοῦσα αὐτὸν Χρηστὸν, οὐδὲν ὠφέλησεν, οὐδὲ τὰ πέντε καὶ ἑβδομήκοντα ἔτη, ἅπερ οὖν διεβίωσεν οὐδὲν ἀδικήσας τοὺς Ἀθηναίους ἐν βραχεῖ. Ἐπεὶ δὲ ἔδοξεν Ἀντιπάτρῳ τὴν Πειραιᾶ προδιδόναι, Ἀθηναῖοι κατέγνωσαν αὐτοῦ θάνατον.

ΚΕΦ. μθ'.

Περὶ Φωκίωνος.

Φωκίωνος δὲ οὗτος Φώκου καὶ τοῦτο ἔγωγε ἔγνων καλόν. Παρελθὼν γὰρ εἰς τοὺς Ἀθηναίους, ἐκκλησίας οὔσης, ἐπεί τι αὐτοῖς ἐμέμφετο ἀγνωμονοῦσι, πάνυ σφόδρα πεπαιδευμένως καὶ πληκτικῶς εἶπε· "Βούλομαι μᾶλλόν τι ὑφ' ὑμῶν παθεῖν κα-"κὸν αὐτὸς, ἢ αὐτός τι ὑμᾶς κακῶς δρᾶσαι.

ΚΕΦ. ν'.

Περὶ Κλεινίου, καὶ Ἀχιλλέως μουσικῇ τὴν ὀργὴν ἀναστέλλειν φιλούντων.

Κλεινίας ἀνὴρ ἦν σπουδαῖος τὸν τρόπον, Πυθαγόρειος δὲ τὴν σοφίαν. Οὗτος εἴ ποτε εἰς ὀργὴν προήχθη, καὶ εἶχεν αἰσθητικῶς ἑαυτοῦ εἰς θυμὸν ἐξαγομένου, παραχρῆμα πρινὴ ἀνάπλεως αὐτῷ ἡ ὀργὴ καὶ ἐπίδηλος γένηται, ὅπως διάκειται, τὴν λύραν ἁρμοσάμενος ἐκιθάριζε. Πρὸς δὲ τοὺς πυνθανομένους τὴν αἰτίαν ἀπεκρίνετο ἐμμελῶς, ὅτι πραΰνομαι.

μαι. Δοκεῖ δέ μοι καὶ ὁ ἐν Ἰλιάδι Ἀχιλλεὺς, ὁ τὴν κιθάραν προσᾴδων, καὶ τὰ κλέα τῶν πρωτέρων διὰ τῶν μέλους εἰς μνήμην ἑαυτῷ ἄγων, τὴν Μῆνιν κατευνάζειν. Μουσικὸς γὰρ ὢν, τὴν κιθάραν πρώτιστος ἐκ τῶν λαφύρων ἔλαβε.

ΚΕΦ. να'.

Περὶ τῶν ὑπὸ Κλεομήδους ῥηθέντων ὑπὲρ Ὁμήρου καὶ Ἡσιόδου.

Ἔλεγεν ὁ Κλεομήδης Λακωνικῶς καλὰ τὸ ἐπιχώριον τρόπον, τὸν μὲν Ὅμηρον, Λακεδαιμονίων εἶναι ποιητὴν, ὡς χρὴ πολεμεῖν λέγοντα· τὸν δὲ Ἡσίοδον, τῶν Εἱλωτῶν, λέγοντα ὡς χρὴ γεωργεῖν.

ΚΕΦ. νβ'.

Περί τινος ἡδέως ἀποθνήσκοντος, ὅπως ἂν ἴδοι τινὰς τῶν τεθνεώτων.

Ἀνὴρ Μεγαλοπολίτης ἐξ Ἀρκαδίας, Κερκιδᾶς ὄνομα, ἀποθνήσκων ἔλεγε πρὸς τοὺς οἰκείους, ἐνθυμούμενος, ἡδέως ἀπολύεσθαι τὸν βίον. Διὰ ἐλπίδος γὰρ ἔχειν συγχωρεῖσθαι τῶν μὲν σοφῶν Πυθαγόραν, τῶν δὲ ἱστορικῶν Ἑκαταῖον, τῶν δὲ μουσικῶν Ὀλύμπον, τῶν δὲ ποιητῶν Ὅμηρον, καὶ ἐπὶ τούτοις, ὡς λόγος, τὴν ψυχὴν ἀπέλιπε.

ΚΕΦ. ργ'.

Περὶ Πλάτωνος.

Πλάτων ὁ Ἀρίσωνος τὰ πρῶτα ἐπὶ ποιητικὴν ὥρμησε, καὶ ἡρωϊκὰ ἔγραφε μέτρα. Εἶτα αὐτὰ κατέπρησεν ὑπερηδὼν αὐτῶν, ἐπεὶ τοῖς Ὁμήρου αὐτὰ ἀντικρίνων ἑώρα κατὰ πολὺ ἡττώμενα. Ἐπέθετο δὴν τραγῳδίᾳ, καὶ δὴ καὶ Τετραλογίαν εἰργάσατο· καὶ ἔμελλεν ἀγωνιεῖσθαι, δὺς ἤδη τοῖς Σωκρατικοῖς τὰ ποιήματα. Πρὸ τῶν Διονυσίων δὲ παρελθὼν ἤκουσε Σωκράτους, καὶ ἅπαξ αἱρεθεὶς ὑπὸ τῆς ἐκείνου Σειρῆνος, οὐδ' ἀγωνίσματος ὀλίγου ἀπέσχετο τότε, ἀλλὰ καὶ τελέως τὸ γράφειν τραγῳδίαν ἀπέῤῥιψε, καὶ ἀπεδύσατο ἐπὶ Φιλοσοφίᾳ.

ΚΕΦ. νδ'.

Ὅτι ἐνίοτε μὴ μήτε ἐν θανάτῳ κακῶν ἐστὶν ἀναπαῦσαι· καὶ περὶ Παυσανίου.

"Οὐκ ἦν ἄρα τοῖς κακοῖς οὐδὲ τὸ ἀποθανεῖν
"κέρδος, ἐπεὶ μηδὲ τότε ἀναπαύουσι· ἀλλ' ἢ
"παντελῶς ἀμοιρῶσι ταφῆς, ἢ, καὶ ἐὰν φθάσωσι
"ταφέντες, ὅμως καὶ ἐκ τῆς τελευταίας τιμῆς, καὶ δὴ
"κοινοῦ πάντων σωμάτων ὄμου, καὶ ἐκεῖθεν ἐκπί-
"πτουσι." Λακεδαιμόνιοι γὰρ Παυσανίαν Μηδίσαντα οὐ μόνον λιμῷ ἀπέκτειναν, ἀλλὰ γὰρ καὶ τὸ νεκρὸν ἐξέβαλον αὐτοῦ ἐκτὸς τῶν ὅρων, φησὶν Ἐπιμηδής.

ΚΕΦ.

ΚΕΦ. νέ.

Περὶ γέροντος Κείου τὴν τρίχα βαψαμένου.

ΑΝΗΡ εἰς Λακεδαίμονα ἀφίκετο Κεῖος, γέρων ἤδη ὤν, τὰ μὲν ἄλλα ἀλαζὼν, ᾐδεῖτο δὲ ἐπὶ τῷ γήρᾳ, καὶ διὰ ταῦτα τὴν τρίχα πολιὰν οὖσαν ἐπειρᾶτο βαφῇ ἀφανίζειν. Παρελθὼν οὖν ἐς τοὺς Λακεδαιμονίους, καὶ τοσαύτην ὑποφαίνων τὴν κεφαλὴν, ἐκεῖνα εἶπεν ὑπὲρ ὧν καὶ ἀφίκετο. Ἀναστὰς οὖν Ἀρχίδαμος ὁ τῶν Λακεδαιμονίων βασιλεύς, "Τί δ' ἂν, ἔφη, οὗτος ὑγιὲς εἴπῃ, ὃς οὐ μόνον ἐπὶ "τῇ ψυχῇ τὸ ψεῦδος, ἀλλὰ καὶ ἐπὶ τῇ κεφαλῇ "περιφέρει;" Καὶ ἐξέωσε τὰ ὑπ' αὐτοῦ λεχθέντα, διαβάλλων τοῦ Κείου τὴν τρόπον ἐξ ὧν ἑωρᾶτο.

ΚΕΦ. νϛ'.

Λυσάνδρου, ἢ Φιλίππου ἀπόφθεγμα περὶ Ἐπιορκίας.

"ΔΕΙ τοὺς παῖδας τοῖς ἀστραγάλοις ἐξαπα-"τᾶν, τοὺς δὲ ἄνδρας τοῖς ὅρκοις." Οἱ μὲν Λυσάνδρου εἶναι λέγουσι τὸν λόγον, οἱ δὲ Φιλίππου τοῦ Μακεδόνος. Ὁπότερος δ' ἂν ᾖ, οὐκ ὀρθῶς λέγεται κατά γε τὴν ἐμὴν γνώμην. Καὶ ἴσως οὐ παράδοξον, εἰ μὴ τὰ αὐτὰ ἀρέσκει ἐμοὶ, καὶ Λυσάνδρῳ. Ὁ μὲν γὰρ ἐτυράννει· ἐγὼ δὲ ὡς φρονῶ, δῆλον ἐξ ὧν μὴ τὸ λεχθὲν ἀρέσκει με.

ΚΕΦ. νζ'.

Πῶς ὁ Μακαρεὺς ὑπὲρ τ̃ ἑαυτοῦ ἀπηνείας ἀπὸ τ̃ θεῶν ἐλιμωρήθη.

Μιτυληναῖος ἀνὴρ, Μακαρεὺς ὄνομα, ἱερεὺς τ̃ Διονύσου, ὅσα μὲν ἰδεῖν, ὅτος πρᾶος ἦν καὶ ἐπιεικὴς, ἀνοσιώτατος δὲ ἀνθρώπων τὰ μάλιστα. Ξένον δὲ ἥκοντος παρ' αὐτὸν, καὶ δόντος αὐτῷ χρυσοῦ καταθήκην, χρυσίου πλῆθος, ἐν τῷ μυχῷ τοῦ ἀνακτόρου, τ̃ γῆν ἀμασκάψας ὁ Μακαρεὺς, καὶ ὤρυξε τὸ χρυσίον. Χρόνῳ δὲ ἀφικόμενος ὁ ξένος, τὸ χρυσίον ἀπῄτει· ὁ δὲ εἰσαγαγὼν ἔνδον, ὡς ἀποδώσων, κατέσφαξε, καὶ τὸ χρυσίον ἀνώρυξεν, ἀντ' αὐτ̃ δὲ τὸν ξένον καθέθηκε· καὶ ᾤετο ὥσπερ σοὶ ἀνθρώποις, λανθάνειν ὅτω καὶ τὸν Θεόν. Πλὴν οὐκ ἀπήντησε ταῦτα τούτῳ ποθέν.

Χρόνῳ δὲ ὀλίγῳ διεληλυθότος, αἱ μὲν τοῦ Θεοῦ Τριετηρίδες ἀφίκοντο· ὁ δὲ ἔθυε μεγαλοπρεπῶς. Καὶ ὁ μὲν περὶ τ̃ Βακχείαν εἶχεν. Οἱ δὲ παῖδες αὐτ̃ δύο ὄντες, ἔνδον ἀπελείφθησαν ἐν τῇ οἰκίᾳ, καὶ μιμούμενοι τ̃ τοῦ πατρὸς ἱερουργίαν, τῷ βωμῷ τῷ πατρῴῳ προσῆλθον ἔλαι καιομένων τῶν ἐμπύρων. Καὶ ὁ μὲν νεώτερος παρέσχε τ̃ τράχηλον· ὁ δὲ πρεσβύτερος ἠμελημένην εὑρὼν σφαγίδα, τ̃ ἀδελφὸν ἀπέκτεινεν. Οἱ δὲ κατὰ τ̃ οἰκίαν ἰδόντες, ἀνεβόησαν. Ἀκούσασα καὶ ἡ μητὴρ τ̃ βοῆς ἐξεπήδησε, καὶ θεασαμένη τ̃ μὲν νεκρὸν, τ̃ δὲ κατέχουσα ἔλαι τὴν

τ̃ σφαγίδα ἡμαγμένην, σχίζαν ἁρπάσασα τῶν ἐκ τοῦ βωμοῦ ἡμίκαυτον, ταύτῃ τὸν παῖδα ἀπέκτεινεν.

Ἧκε δὲ ἀγγελία πρὸς τὸν Μακαρέα, καὶ ἀπολιπὼν τὴν τελετὴν, ὡς εἶχε, σὺν ὀργῇ καὶ θυμῷ εἰσεπήδησεν εἰς τὴν οἰκίαν, καὶ τῷ θύρσῳ ᾧ κατεῖχε, τὴν ἑαυτοῦ γυναῖκα ἔκτεινεν. Ἔκπυστα οὖν ἐγένοντο τὰ τολμηθέντα εἰς πάντας. Καὶ συλληφθεὶς ὁ Μακαρεὺς καὶ στρεβλούμενος, ὡμολόγησεν, ὅσα ἐν τῷ ἀνακτόρῳ ἔδρασεν· ἐν αὐταῖς δὲ τοῦ κολάσεσι τὴν ψυχὴν ἀπέρρηξεν. Ὁ δὲ παρανόμως σφαγεὶς διὰ τιμῆς ἦλθε δημοσίᾳ, καὶ ἐτάφη, τοῦ θεοῦ προστάξαντος. Ἔτισεν οὖν ὁ Μακαρεὺς οὐ μεμπτὴν τὴν δίκην, τοῦτο δὴ τὸ ποιητικὸν, σὺν τῇ ἑαυτοῦ κεφαλῇ, καὶ τῇ τῆς γυναικὸς, καὶ οὖν καὶ τῇ τῶν παίδων προσέτι.

ΚΕΦ. νη'.

Περὶ πραγμάτων μειώσεως καὶ φθορᾶς, καὶ οὗ Κόσμου αὐτοῦ.

ΟΥΔΕΝ ἔτι θαυμάζομεν, εἰ ἡ τῶν ἀνθρώπων φύσις, θνητὴ οὖσα καὶ ἐφήμερος, φθείρεσθαι αὐτοὺς ἀναγκάζει, ὅπου καὶ τοὺς ποταμοὺς ὁρῶμεν ἐπιλείποντας, καὶ τῶν ὁρῶν δὲ τὰ ὑψηλότατα ἀκούομεν μειούμενα καὶ ἐκεῖνα· τὴν γοῦν Αἴτνην φασὶν οἱ πλέοντες, ἐξ ἐλάσσονος ὁρᾷν, ἢ πρὸ τοῦ ἐβλέπετο. Τὸ δὲ αὐτὸ τοῦτο καὶ τὴν Παρνασσὸν παθεῖν, καὶ τὸν Ὄλυμπον τὴν Πιερικόν. Οἱ δὲ ἔτι μᾶλλον δοκοῦντες τὴν τῶν ὅλων φύσιν κατεσκέφθαι, λέγουσι καὶ τὸν Κόσμον διαφθείρεσθαι αὐτόν.

ΚΕΦ. νϑ'.

Πῶς ὁ Πεισίστρατος τοῖς ἑαυτοῦ πολίταις ἐχρῆτο.

ΠΕισίστρατος, ὅτε τ᾽ ἀρχῆς ἐγκρατὴς ἐγένετο, μετεπέμπετο τὰς ἐν τῇ ἀγορᾷ ἀποκολάζοντας, καὶ ἐπυνθάνετο, τί δήποτε εἴη τὸ αἴτιον τοῦ ἀλύειν αὐτάς. Καὶ ἐπέλεγεν, εἰ μὲν σοι πέθηκε ζεῦγος, παρ᾽ ἐμοῦ λαβὼν ἄπιθι, καὶ ἐργάζου· εἰ δὲ ἀπορεῖς σπερμάτων, παρ᾽ ἐμοῦ σοι γενέσθω· δεδιὼς μὴ ἡ σχολὴ τούτων ἐπιβουλὴν τέκῃ.

ΚΕΦ. ξ'.

Περὶ Ἀληθείας, καὶ Εὐεργεσίας.

ΠΥθαγόρας ἔλεγε, δύο ταῦτα ἐκ τῶν Θεῶν τοῖς ἀνθρώποις δεδόσθαι κάλλιστα, τό τε Ἀληθεύειν, καὶ τὸ Εὐεργετεῖν· καὶ προσετίθη, ὅτι καὶ ἔοικε τοῖς θεῶν ἔργοις ἑκάτερον.

ΚΕΦ. ξα'.

Περὶ Θηραμένους.

ΘΗραμένης ἔτυχεν ἐν οἰκίᾳ τινὶ Φατρίων, εἶτα ἐπεὶ προῆλθεν αὐτῆς, ὠδαχρῆμα ἐκείνη κατηνέχθη. Καὶ οἱ μὲν Ἀθηναῖοι ἀλλαχόθεν αὐτῷ προφῶτες συνήδοντο ἐπὶ τῇ σωτηρίᾳ τῇ ὠδαδόξῳ· ὁ δὲ ὠδὰ τῶν πάντων ἐλπίδα ἀπεκρίνατο· ὦ Ζεῦ,

ὦ Ζεῦ, ἐς τίνα με καιρὸν φυλάττεις; ἐς μετ' οὐ πολὺν χρόνον ὑπὸ τῶν Τριάκοντα ἀνῄρεθη, πιεῖν κώνειον καταναγκασθείς.

ΚΕΦ. ξϛ'.

Περὶ μεγάλης ῥοιᾶς τῷ Περσῶν βασιλεῖ δεδωρημένης.

ΡΟΙΑΝ ἐπὶ λίκνου μεγίστην ὁ Μίσης Ἀρταξέρξῃ τῷ βασιλεῖ ἐλαύνοντι τὴν Περσίδα προσεκόμισε. Τὸ μέγεθος οὖν αὐτῆς ὑπερεκπλαγεὶς ὁ βασιλεὺς, ἐκ ποίου παραδείσου, φησὶ, λαβὼν φέρεις μοι τὸ δῶρον τοῦτο; τοῦ δὲ εἰπόντος, ὅτι οἴκοθεν, ἐκ ἐκ τῆς αὐτοῦ γεωργίας, ὑπερήσθη· καὶ δῶρα μὲν αὐτῷ βασιλικὰ ἔπεμψε, καὶ ἐπεῖπε· Νὴ τὸν Μίθραν, ἀνὴρ οὗτος ἐκ τῆς ἐπιμελείας ταύτης δυνήσεται καὶ πόλιν, κατά γε τὴν ἐμὴν κρίσιν, ἐκ μικρᾶς μεγάλην ποιῆσαι. Ἔοικε δὲ ὁ λόγος ὁμολογεῖν οὗτος, "ὅτι πάντα ἐκ τῆς ἐπιμελείας καὶ τῆς διαρ-
"κοῦς φροντίδος καὶ τῆς σπουδῆς τῆς ἀνελλιποῦς, καὶ
"τῶν κατὰ φύσιν δύναιτο ἂν κρείττονα γενέσθαι."

ΚΕΦ. ξγ'.

Ὅτι οἱ Αἰγύπτιοι καρτεροὶ ἐν ταῖς βασάνοις· καὶ περὶ Ἰνδῶν γυναικῶν.

ΑΙγυπτίους φασὶ δεινῶς ἐγκαρτερεῖν ταῖς βασάνοις, καὶ ὅτι θᾶττον τεθνήξεται ἀνὴρ Αἰγύπτιος

ςρεβλώμενος, ἢ ταληθὲς ὁμολογήσῃ. Παρὰ Ἰνδοῖς δὲ αἱ γυναῖκες τὸ αὐτὸ ὑπὲρ ἀποθανοῦσι τοῖς ἀνδράσιν ἐπομνύσι. Φιλοτιμοῦνται δὲ περὶ τούτου αἱ γυναῖκες τοῦ ἀνδρὸς, καὶ ἡ κλήρῳ λαχοῦσα συγκαίεται.

ΚΕΦ. ξδ'.

Τί ἔλεγεν ὁ Διογένης περὶ Μεγαρέων.

Διογένης ὁ Σινωπεὺς ἔλεγε πολλὰ, τὴν ἀμαθίαν καὶ τὴν ἀπαιδευσίαν τῶν Μεγαρέων διαβάλλων, "καὶ ἐβούλετο Μεγαρέως ἀνδρὸς κριὸς εἶναι μᾶλλον, "ἢ υἱός." Ἠνίττετο δὲ, ὅτι τῶν θρεμμάτων ποιοῦνται πρόνοιαν οἱ Μεγαρεῖς, τῶν παίδων δὲ οὐχί.

ΚΕΦ. ξε'.

Περιήγησις τῶν Θετταλικῶν Τεμπῶν.

Φέρε οὖν καὶ τὰ καλούμενα Τέμπη τὰ Θετταλικὰ διαγράψωμεν τῷ λόγῳ καὶ διαπλάσωμεν. Ὁμολόγηται γὰρ καὶ ὁ λόγος, ἐὰν ἔχῃ δύναμιν φαντασικὴν, μηδὲν ἀσθενέστερον ὄσων βούλεται δεικνύναι τῶν ἀνδρῶν, τῶν κατὰ χειρουργίαν δεινῶν.

Ἔστι δὴ χῶρος μεταξὺ κείμενος τοῦ τε Ὀλύμπου, καὶ τῆς Ὄσσης· ὄρη δὲ ταῦτ' ἐστὶν ὑπερύψηλα, καὶ οἷον ὑπό τινος θείας Φροντίδος διεχισμένα, καὶ μέσον δέχεται χωρίον, οὗ τὸ μὲν μῆκος ὑπὲρ τεσσαράκοντα διήκει σταδίους· τὸ γε μὴν πλάτος τῇ μὲν ἐστι πλέθρα,

θρὰ, τῇ ἢ καὶ πλεῖον ὀλίγῳ. Διαῤῥεῖ δὲ μέσου αὐτοῦ ὁ καλούμενος Πηνειὸς, εἰς τοῦτον δὲ καὶ οἱ λοιποὶ ποταμοὶ συῤῥέουσι, καὶ ἀναχοινοῦν τὸ ὕδωρ αὐτῷ, καὶ ἐργάζον τὸν Πηνειὸν ἐκεῖνοι μέγαν. Διατριβὰς δ' ἔχει ποικίλας καὶ παντοδαπὰς ὁ τόπος ὅτος, οὐκ ἀνθρωπίνης χειρὸς ἔργα, ἀλλὰ φύσεως αὐτόματα, εἰς κάλλος τότε Φιλοτιμησαμένης, ὅτε ἐλάμβανε γῆσιν ὁ χῶρος. Κιττὸς μὲν γὰρ πολὺς καὶ εὖ μάλα λάσιος ἐναχμάζει, καὶ τέθηλε, καὶ δίχην τῶν εὐηθμῶν ἀμπέλων κατὰ τῶν ὑψηλῶν δένδρων ἀνέρπει καὶ συμπέφυκεν αὐτοῖς. Πολλὴ δὲ σμίλαξ, ἡ μὴ πρὸς αὐτὸν τὸν πίτυον ἀνατρέχει, καὶ ὀπισθιάζει τὴν πέτραν, ἣ ἐκείνη μὴ ὑπολανθάνει· ὁρᾶ δὲ τὸ χλοάζον πᾶν, ἣ ἔστιν ὀφθαλμῶν Πανήγυρις.

Ἐν αὐτοῖς δὲ τοῖς λείοις καὶ καθημμένοις, ἄλση τέ ἐστι ποικίλα, καὶ ὑποδρομαὶ συνεχεῖς, ἐν ὥρᾳ θέρους καλαφυγεῖν ὁδοιπόροις ἥδιστα καταγώγια, ἃ καὶ δίδωσιν ἀσμένως ψυχᾶσθαι. Διαῤῥέουσι δὲ καὶ κρῆναι συχναὶ, καὶ ἐπιῤῥεῖ νάματα ὑδάτων ψυχρῶν καὶ πιεῖν ἡδίστων. Λέγεται δὲ τὰ ὕδατα ταῦτα καὶ τοῖς λυσαμένοις ἀγαθὸν εἶναι, καὶ εἰς ὑγίειαν αὐτοῖς συμβάλλεσθαι. Καταίδεται δὲ καὶ ὄρνιθες ἄλλος ἄλλῃ διεσταρμένοι, καὶ μάλιστα οἱ μουσικοὶ, καὶ ἐσιῶσιν εὖ μάλα τὰς ἀκοὰς, ἣ παραπέμπουσιν ἀπόνως καὶ σὺν ἡδονῇ, διὰ τὸ μέλος τὸ κάματον τῶν παριόντων ἀφανίσαντες. Παρ' ἑκάτερα δὲ τοῦ ποταμοῦ αἱ διατριβαί εἰσιν αἱ προειρημέναι, καὶ αἱ ἀναπαύλαι. Διὰ μέσων καὶ τῶν

Τεμπῶν

Τεμπῶν ὁ Πηνειὸς ποταμὸς ἔρχεται, σχολῇ καὶ πράως προϊὼν ἐλαίᾳ δίκην. Πολλὴ δὲ κατ' αὐτοῦ ἡ σκιὰ ἐκ τῶν ὑδροφυκότων δένδρων καὶ τῶν ἐξηρτημμένων κλάδων τίκτει· ὡς ἐπὶ πλεῖστον τῆς ἡμέρας αὐτὴν προήκουσαν ἀποσέγειν τὴν ἀκτῖνα, καὶ παρέχειν τοῖς πλέουσι πλῶν κατὰ ψύχος. Πᾶς δὲ ὁ περίοικος λεὼς συρίασιν, ἄλλοι σὺν ἄλλοις, καὶ θύουσι, καὶ συνουσίας ποιοῦνται, καὶ συμπίνουσιν. Ἅτε δὴ πολλῶν ὄντων τῶν θυόντων, καὶ τῶν καθαγιζομένων συνεχῶς, εἰκότως καὶ τοῖς βαδίζουσι καὶ τοῖς πλέουσιν ὀσμὴ συμπαρομαρτοῦσιν ἥδιστη. Οὕτως ἄρα τιμὴ ἡ διαρκὴς, ἡ περὶ τὸ Κρεῖττον, ἐκθεοῖ τὸν τόπον.

Ἐνταῦθά τοί φασι παῖδες Θετταλῶν, καὶ τὸν Ἀπόλλωνα τὸν Πύθιον καθήραθαι κατὰ πρόσταγμα τοῦ Διὸς, ὅτε Πύθωνα τὸν δράκοντα κατετόξευσεν ἔτι φυλάττοντα τοὺς Δελφοὺς τῆς Γῆς ἐχούσης τὸ μαντεῖον. Στεφανωσάμενον δὴ ἐκ ταύτης τῆς δάφνης τ᾽ Τεμπικῆς, καὶ λαβόντα κλάδον εἰς τ᾽ δεξιὰν χεῖρα, [ἐκ τ᾽ αὐτοῦ δάφνης] ἐλθεῖν εἰς Δελφούς, καὶ παραλαβεῖν τὸ μαντεῖον, τ᾽ Διὸς καὶ Λητοῦς παῖδα. Ἔστι δὲ καὶ βωμὸς ἐν αὐτῷ τῷ τόπῳ, ἐν ᾧ καὶ ἐστεφανώσατο, καὶ τὸν κλάδον ἀνεῖλε.

Καὶ ἔτι καὶ νῦν ἔτος ἐννάτῳ οἱ Δελφοὶ παῖδας εὐγμεῖς πέμπουσι, καὶ Ἀρχιθέωρον ἕνα σφῶν αὐτῶν. Οἱ δὲ παραγιγόμενοι καὶ μεγαλοπρεπῶς θύσαντες ἐν τοῖς Τέμπεσιν, ἀπίασι πάλιν, στεφάνους ἀπὸ

ἀπὸ τ αὐτῆς δάφνης διαπλέξαντες, ἀφ' ἧπερ ἐρῶν καὶ τότε ὁ Θεὸς ἐσεφανώσατο. Καὶ τὴν ὁδὸν σκαίνῳ ἔρχεται, ἣ καλεῖται μὲν Πυθιὰς, φέρει δ' διὰ Θετταλίας, καὶ Πελαγονίας, καὶ τ Οἴτης, καὶ τ Αἰνιάνων χώρας, καὶ τ Μηλιέων, καὶ Δωριέων, καὶ Λοκρῶν τῶν Ἑσπερίων. Οὗτοι δὲ καὶ θυσίαν πέμπουσιν αὐτὸς σὺν αἰδοῖ καὶ τιμῇ, ὅσην ἥκιστον ἥπερ ἂν ἐκεῖνοι [οἱ] θεοὺς ἐξ Ὑπερβορέων τὰ ἱερὰ κομίζοντας τῷ αὐτῷ θεῷ τούτῳ τιμῶσι. Καὶ μὴν καὶ τοῖς Πυθίοις ἐκ ταύτης τ δάφνης τοῖς νικῶσι τὰς στεφάνας διδόασιν. Ὑπὲρ μὲν ἂν τῶν ἐν Θετταλίᾳ Τεμπῶν, καὶ ἐμοὶ νῦν τοσαῦτα εἰρήσθω.

ΚΕΦ. ξς'.

Πῶς ὁ Ἀνταλκίδας ἤλεγξε δῶρον μύρῳ βεβαμμένον αὐτῷ πεμφθέν.

Ὁ Περσῶν βασιλεὺς, (βούλομαι γάρ τι ὑμῖν καὶ φαιδρὸν εἰπεῖν) στέφανον εἰς μύρον βάψας· διεπλέκετο δὲ ῥόδων ὁ στέφανος· ἔπεμψεν Ἀνταλκίδᾳ πρεσβεύοντι ὑπὲρ εἰρήνης πρὸς αὐτόν. Ὁ δὲ· "Δέχομαι μὲν, ἔφη, τὸ δῶρον, καὶ ἐπαινῶ τὸν "φιλοφροσύνην· ἀπώλεσας δὲ τὴν ὀσμὴν τῶν ῥό- "δων, καὶ τ φύσεως εὐωδίαν διὰ τ ἐκ τῆς "τέχνης κιβδηλίαν."

ΚΕΦ. ξζ'.

Περὶ τοῦ οἰκέτου τοῦ Διογένους τοῦ κυνῶν Διαπασθέντος.

Διογένης ἡνίκα ἀπέλιπε τὴν πατρίδα, εἰς αὐτὸν τῶν οἰκετῶν ἠκολούθει, ὄνομα Μάνης· ὃς ἀφέρων τὴν μετ' αὐτοῦ διατριβὴν, ἀπέδρα. Προτρεπόντων δέ τινων ζητεῖν αὐτὸν, ἔφη· Οὐκ αἰσχρὸν Μάνῃ μὲν μὴ δεῖσθαι Διογένους Διογένην δὲ Μάνους; ὅτος δὲ ὁ οἰκέτης εἰς Δελφοὺς ἀλωμένου, τοῦ κυνῶν διεσπάσθη, τῷ ὀνόματι τοῦ δεσπότου δίκας ἐκτίσας ἀνθ' ὧν ἀπέδρασε.

ΚΕΦ. ξη'.

Πῶς ὁ Μέτων ἐμμύσατο ἑαυτὸν τὴν ἔξοδον, καὶ περὶ Ὀδυσσέως μανίας.

Μέτων ὁ ἀστρονόμος, μελλόντων ἐπὶ τὴν Σικελίαν πλεῖν τῶν Ἀθηναίων ἤδη τῶν στρατευμάτων, καὶ αὐτὸς εἰς ἦν τοῦ καταλόγου. Σαφῶς δὲ ἐπιστάμενος τὰς μελλούσας τύχας, τὸν πλοῦν ἐφυλάττετο δεδιὼς, καὶ προσεύδων τὴν ἔξοδον ἑαυτὸν ῥύσασθαι· ἐπεὶ δὲ οὐδὲν ἔπραττεν, ὑπεκρίνατο μανίαν, καὶ πολλὰ μὲν καὶ ἄλλα ἔδρασε, πισώσασθαι τὴν τῆς νόσου δόξαν βουλόμενος· ἐν δὲ τοῖς καὶ τὴν συνοικίαν τὴν αὐτοῦ κατέπρησεν. Ἐγεγόνει δὲ αὐτῇ τῇ Ποικίλῃ. Καὶ ἐκ τούτου ἀφῆκαν αὐτὸν οἱ ἄρχοντες.

Καὶ

Καί μοι δοκεῖ ὁ Μέτων ἄμεινον ὑποκρίναθαι τὴν μανίαν ἢ Ὀδυσσέως τοῦ Ἰθακησίου· ἐκεῖνον μὲν γὰρ ὁ Παλαμήδης καπεφώρασε, τοῦτον δὲ Ἀθηναίων ἀδείς.

ΚΕΦ. ξθ'.

Σκύθου τινὸς ἀπόκρισις περὶ ῥίγους.

Χίονος ποτὲ πιπτούσης, ἤρετο ὁ βασιλεὺς τῶν Σκυθῶν εἰ ῥιγοῖ, γυμνὸν Δαμαρτερᾶντα. Ὁ δὲ αὐτὸν ἀντήρετο, εἰ τὸ μέτωπον ῥιγοῖ. Τοῦ δὲ, ὦ, φήσαντος, ἀχεῖν, εἶπε, ἀδὲ ἐγώ· πᾶς γὰρ μέτωπον εἰμί.

ΕΚ ΤΩΝ

ΠΟΛΥΑΙΝΟΥ

ΠΕΡΙ

ΣΤΡΑΤΗΓΗΜΑΤΩΝ.

ΚΕΦ. α'.

ΠΑΝ.

Διονύσου στρατηγὸς ἦν ὁ Πᾶν. Οὗτος πρῶτος τάξιν εὗρεν, ὠνόμασε Φάλαγγα, κέρας ἔταξε δεξιὸν καὶ λαιόν. Ταύτη τοι ἄρα Κερασφόρον τὸν Πᾶνα δημιοργοῦσιν. Ἀλλὰ δὴ καὶ πρῶτος ὅτος πολεμίοις φόβον ἐνέβαλε σοφίᾳ καὶ τέχνῃ. Ἦν γὰρ Διονύσῳ ἐν κοίλῃ νάπῃ, ἤγειλαν οἱ σκοποὶ μυρίαν χεῖρα πολεμίων ἐπέχειν στρατοπεδεύειν. Ἔδεισεν ὁ Διόνυσος· ὁ μὲν ὄχε Πᾶν. Ἀλλὰ ἐσήμαινε νύκτωρ Διονυσιακῇ σάλπιγα ἀλαλάξαι μέγιστον. Οἱ μὲν ἠλάλαξαν· ἀντήχησαν ὄρη αἱ πέτραι, καὶ

καὶ τὸ κοῖλον τῆς νᾶπης ἦχον πολλῷ μείζονος δυνάμεως τοῖς πολεμίοις ἐνεποίησεν. Οἱ μὲν δὴ φόβῳ πληγέντες ἔφευγον. Τοῦ δὲ Πανὸς στρατήγημα τιμῶντες, τὴν Ἠχὼ τῷ Πανὶ φίλην ᾄδομεν· καὶ τοὺς κενοὺς καὶ νυκτερινοὺς τῶν στρατευμάτων φόβους Πανὶ κληίζομεν.

ΚΕΦ. β'.

ΣΟΛΩΝ.

Ἀθηναῖοι καὶ Μεγαρεῖς ἐπολέμουν χρόνῳ μακρῷ Σαλαμῖνος πέρι. Ἡσσώμενοι Ἀθηναῖοι νόμον ἐκύρωσαν, "Τῷ ἀγορεύσαντι πλεῖν ἐπὶ Σαλα-"μῖνος μάχῃ, Θάνατος ἔστω." Σόλων τὴν θάνατον οὐ φοβηθεὶς, λύει τὴν νόμον, λύει δὴ ὧδε. Μανίαν ὑποκρίνεται, καὶ προελθὼν εἰς ἀγορὰν, Ἐλεγεῖα ᾖδεν. Τὰ δὴ Ἐλεγεῖα ἦν Ἀρήϊα ἄσματα. Οἱ δὲ κάτοχοι ἐκ Μουσῶν καὶ Ἄρεος, αὐτίκα ἀνήγοντο ᾄδοντες ὁμοῦ καὶ ἀλαλάζοντες, καὶ Μεγαρεῖς κατὰ κράτος ἐνίκων. Καὶ πάλιν ἡ Σαλαμὶς Ἀθηναίων κτῆμα ἦν. Σόλων δὲ μάλα ἐθαυμάζετο, καὶ τὸν νόμον λύσας τῇ μανίᾳ, καὶ τὸν πόλεμον νικήσας τῇ μουσικῇ.

ΚΕΦ. γ'.

ΒΙΑΣ.

Κροῖσος Λυδὸς ἐπιπλεῖν Νησιώταις παρεσκευάζετο. Βίας ὁ Πριηνεὺς ἐξέπληξε τὸν Λυδὸν,

 εἰπών·

εἰπών· "Οἱ Νησιῶτ) πολλὴν ἵππον ἐπί σε ὠνοῦντ)." Ὁ δὲ γελάσας ἔφη, "Ὦ Ζεῦ, Νησιώτας ἐν ἠπείρῳ "λάβοιμι." Ὁ δὲ Βίας, "Τί δ' ἄλλο, ἔφη, "κἀκείνους εὔχεσθ Διΐ, ἢ ὅπως Κροῖσον τὸν ἠπει-"ρώτην ἐν θαλάττῃ λάβοιεν;" Ὁ λόγος τοῦ Βίαντος Κροῖσον ἔπεισεν ἐπὶ τὰς νήσους πλεῦσαι μηκέτι.

ΚΕΦ. δ'.

ΘΕΜΙΣΤΟΚΛΗΣ.

Αθηναίοις ὁ Θεὸς ἔχρησε,
Τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεὺς. Οἱ μὲν ἄλλοι Ἀθηναῖοι τειχίζειν τὴν Ἀκρόπολιν ἠγόρευον· Θεμιστοκλῆς δὲ εἰς τὰς τριήρεις ἐμβαίνειν, ὡς ταύτας οὔσας τὸ ξύλινον τεῖχος τῶν Ἀθηναίων. Ἐπείσθησαν, ἐπέβησαν, ἐναυμάχησαν, ἐνίκησαν.

ΚΕΦ. ε'.

Οἱ Ἕλληνες νικήσαντες ἐν Σαλαμῖνι βουλεύονται πλεῖν ἐφ' Ἑλλήσποντον, καὶ τὸ ζεῦγμα λύειν, ἵνα βασιλεὺς μὴ φύγῃ. Θεμιστοκλῆς ἀντιβουλεύετ), λέγων· "Βασιλεὺς ἀποληφθεὶς ἀναμαχεῖται τά-"χα. Πολλάκις δὲ ἀπόνοια δίδωσιν, ὅσα μὴ ἔ-"δωκεν ἀνδρεία." Πέμπει δὲ πάλιν ὡς Βασιλέα εὐνοῦχον ἄλλον Ἀρσάκην, οὑτωσὶ προσαγορεύοντα· εἰ μὴ φύγοι διὰ τάχους, ἡ γέφυρα τοῦ Ἑλλησπόντου

δια-

διαλύεται. Βασιλεὺς ἔδεισε καὶ φθάσας τὸ Ἑλληνικὸν, διέβη τὸ ζεῦγμα, καὶ φυγὼν ᾤχετο. Θεμιστοκλῆς δὲ τὴν Ἑλλησιν ἐφύλαξε τὴν νίκην ἀκίνδυνον.

ΚΕΦ. ε'.

Ἀθηναῖοι τὰ τείχη τοῦ Ἄστεος ἤγειραν· Λάκωνες ἐφθόνουν. Ἠπάτησεν αὐτοὺς ὁ Θεμιστοκλῆς. Ὁ δὲ τρόπος τῆς ἀπάτης ἦν ὅτος. Ἀφίκετο εἰς Λακεδαίμονα πρεσβευτὴς, καὶ ἦν ὠρὸς τὰς Λάκωνας ἔξαρνος, ἢ μὴν οὐκ ἐγείρεσθαι τὸ τεῖχος. Εἰ δὲ ἀπιστεῖτε, ἔφη, τὰς ἀρίστας σκέμψατε κατασκόπους, ἐμὲ κατασχόντες. Οἱ μὲν ἔπεμψαν. Θεμιστοκλῆς δὲ κρύφα πέμψας, ἐνετείλατο Ἀθηναίοις κατέχειν τὰς κατασκόπους, ἕως ἂν ἐγείρωσι τὸ τεῖχος. Ἐπειδὰν δὲ ἐγείρωσι, μὴ πρότερον αὐτὰς ἀποπέμπειν, εἰ μὴ πρόθεν αὐτὸν ἀπολάβοιεν. Καὶ πᾶσα ὅτως ἐγένετο. Ἐγέρθη τὸ τεῖχος, καὶ ἐπανῆλθε Θεμιστοκλῆς, ἀπεδόθησαν οἱ κατάσκοποι, ἐτειχίσθησαν Ἀθῆναι, Λακεδαιμονίων ἀκόντων.

ΚΕΦ. ϛ'.

ΑΡΙΣΤΕΙΔΗΣ.

Ἀριστείδης καὶ Θεμιστοκλῆς ἐχθρότατοι πάντων ὄντες, διεπολιτεύοντο. Τῶ δὲ Περσῶ διαβάντος, ἀλλήλων λαβόμενοι, τῆς πόλεως ἔξω προελθόντες, ἐς ταὐτὸν ἑκάτερος τὴν δεξιὰν χεῖρα καθιέντες, συμπηγμένων

μένων τῶν δακτύλων, ἐπεφώνει· "Τὴν ἔχθραν "ἐνταῦθα καταπεθέμεθα, ἕως ἂν πρὸς τὸν Πέρ- "σην πολεμήσωμεν." Ταῦτ' εἰπόντες, αἴρονται τὰς χεῖρας διαλελυμένων τῶν δακτύλων, ὡς δή τι καπετεθεικότες, ἔπειτα συγχώσαντες τὸν βόθρον, ἐπανῆλθον, καὶ διετέλεσαν πρὸς πάντα τὸν πόλεμον ὁμονοοῦντες. "Ἡ δὲ τῶν στρατηγῶν ὁμόνοια μά- "λιστα δὴ τοὺς βαρβάρους ἐνίκησεν."

ΚΕΦ. ιʹ.

ΑΡΧΙΔΑΜΟΣ.

Ἀρχίδαμος ἐν Ἀρκαδίᾳ μέλλων πρὸς τάσεσθαι τῇ ὑστεραίᾳ, ἐπέρρωσε τοὺς Σπαρτιάτας διὰ νυκτὸς βωμὸν ἱδρυσάμενος, καὶ κοσμήσας ὅπλοις λαμπροτάτοις, καὶ ἵππους δύο προάγων. Ἐπεὶ δὲ ἦν ἕως, οἱ λοχαγοὶ καὶ οἱ ταξίαρχοι καινὰ ὅπλα, καὶ δυοῖν ἵπποιν ἴχνη, καὶ βωμὸν αὐτόματον ἰδόντες, διήγειλαν, ὡς οἱ Διόσκουροι συμμαχήσοντες ἥκοιεν. Οἱ στρατιῶται θαρρήσαντες, καὶ τὰς γνώμας ἔνθεοι γενόμενοι, γενναίως ἠγωνίσαντο, καὶ τοὺς Ἀρκάδας ἐνίκησαν.

ΚΕΦ. ιαʹ.

Ἀρχίδαμος νύκτωρ τοὺς στρατιώτας ἦγεν ἐπὶ Κά- ρας. Ὁδὸς ἦν ἄνυδρος, τραχεῖα, πολλή· καὶ ἠναγκάζοντο οἱ στρατιῶται τῷ πόνῳ. Παρεμυθεῖτο αὐτοὺς Ἀρχίδαμος, ὡς οἷόν τε ἦν, καὶ παρεκάλει μηδαμῶς

μηδαμῶς ἐνδιδόναι. Ἐπεὶ δὲ ἄφνω προσπεσόντες, καὶ πολλοὺς τῶν πολεμίων κτείναντες, ἐξεῖλον τὸ χωρίον· οἱ μὲν ἐθεσπιοποιοῦντο ἐπὶ τῇ νίκῃ γεγηθότες. Ἀρχίδαμος δὲ ἤρετο, πηνίκα δοκοῦσιν ἁλῶναι τὴν πόλιν; Λεγόντων δὲ τῶν μὲν, ἡνίκα προσεβάλομεν· τῶν δὲ, ἡνίκα ἐτοξεύομεν· "Οὐδαμῶς, ἔφη αὐ-"τοὺς, ἀλλ' ὅτε τὴν πολλὴν καὶ ἄνυδρον ὁδὸν ἐπρεύ-"μεθα. Τὸ γὰρ βέλεσι μάχεσθαι, πάντων κρα-"τεῖν πέφυκεν."

ΚΕΦ. ί.

ΑΓΗΣΙΛΑΟΣ.

Ἀγησίλαος μὲν Κορώνειαν ὅσον οὔπω παρετάσσετο. Ἦκέ τις ἀγγέλλων· Τέθνηκε Πεισάνδρου ὁ ναύαρχος Λακεδαιμονίων, ἡττηθεὶς ὑπὸ Φαρναβάζου. Ὅπως οὖν ἀθυμία καὶ φόβος μηδαμῶς ἐμπέσοι τῷ στρατεύματι, Ἀγησίλαος προσέταττε τοῖς ἀγγέλοις· Τἀναντία πρὸς τοὺς στρατιώτας ἀγγέλλετε. Λακεδαιμόνιοι νικῶσιν ἐν τῇ θαλάττῃ. Ἀλλὰ μὲν καὶ αὐτὸς προῆλθεν ἐσεφανωμένος, ἔθυσεν Εὐαγγέλια, διέπεμψε τοῖς φίλοις μερίδας ἀπὸ τῶν ἱερείων. Οἱ στρατιῶται ταῦτα ἀκούσαντες καὶ ὁρῶντες, πλέον θαρρήσαντες, μετὰ μείζονος προθυμίας ἐν τῇ Κορωνείᾳ παρετάξαντο.

ΚΕΦ. ια'.

Αγησίλαος ἐν Κορωνείᾳ Ἀθηναίους ἐνίκησεν. Ἤγγειλέ τις· οἱ πολέμιοι συμφεύγουσιν εἰς τὸν νεὼν τῆς Ἀθηνᾶς. Ὁ δὲ προσέταξεν, ἐᾶν αὐτοὺς οἷ καὶ βούλοιντο ἀπίεναι· ὡς ἄρα εἴη σφαλερὸν συμπλέκεσθαι τοῖς ἐξ ἀπονοίας ἀναμαχομένοις.

ΚΕΦ. ιϐ'.

Αγησίλαος εἰς Ἀσίαν ὅτε διέϐη, καὶ τὴν Βασιλέως ἐλυμαίνετο, Τισαφέρνης ἀνοχὰς συνέθετο. Αἱ δὲ ἀνοχαὶ, τρεῖς μῆνες, ἐφ' ὧ τε βασιλέα πεῖσαι, ὅσαι πόλεις Ἑλληνίδες ἐν Ἀσίᾳ, καὶ δὴ αὐτονόμους ἀφεῖναι. Οἱ μὲν Ἕλληνες ἀνέμενον τὴν προθεσμίαν· ὁ δὲ Πέρσης πολλὴν χεῖρα συλλέξας, ἐπέθετο τοῖς Ἕλλησιν. Ὀρρωδία καὶ φόϐος. Ἀγησίλαος δὲ φαιδρὸς τὴν ὄψιν, μάλα δὴ γαννύμενος ἐστρατήγησε, λέγων· "Χάριν οἶδα Τισαφέρνῃ τῆς "ἐπιορκίας· ἑαυτῷ μὲν γὰρ πολεμίους τοὺς Θεοὺς "ἐποίησεν, ἡμῖν δὲ συμμάχους. Ἴωμεν δὴ θαρ-"ροῦντες, ὡς μαχούμενοι μετὰ τηλικούτων συμμά-"χων." Ἀνεθάρρησαν οἱ Ἕλληνες τῷ λόγῳ τοῦ στρατηγοῦ, καὶ συμϐαλόντες τοὺς βαρϐάρους ἐνίκησαν.

ΚΕΦ. ιγ'.

Αγησίλαος, ἐν τῇ Σπάρτῃ στάσεως γενομένης, ὥστε τῶν ὁπλιτῶν οἱ πολλοὶ κατελάϐοντο λόφον

ἱερὸν

ἱερὸν Ἀρτέμιδος Ἰατωρίας ἐγγὺς Πιτάνης· ἐνέκειντο δὲ Βοιωτοὶ καὶ Ἀρκάδες ἐμβεβληκότες· καὶ δέος ἦν ἀμήχανον ἐν τῷ τε πολέμῳ καὶ στάσει. Οὐ μὴν αὐτὸς ἔδεισεν. Ἀλλὰ τὸ μὲν ὅπλοις βιάζεσθαι τοὺς ἐπὶ τὸ λόφῳ σφαλερὸν, τὸ δὲ ἱκετεύειν ταπεινὸν ὂν, παρῆκεν. Αὐτὸς δὲ μόνος ἄοπλος ἀνέβη καὶ πολλῷ τῷ προσώπῳ πρὸς τὸ λόφον ἐλθών· οὐκ ἐνταῦθα, ἔφη, ὦ νεανίαι, ὑμᾶς ἔταξα· Ἀλλ' ὑμεῖς μὲν, ἐς τόνδε τὸν λόφον, ἕτερον δείξας· ὑμεῖς δὲ, ἐς τόδε τὸ χωρίον ἄπιτε, καὶ φρουρεῖτε. Οἱ δὲ Λάκωνες, ὡς ἀγνοοῦντος τὸ διάνοιαν αὐτῶν τὸ ἀποστάσεως, κατηδέσθησαν· καὶ οἷς προσέταξεν εὐπειθῶς ἀνεχώρησαν. Νύκτωρ δὲ τοῦ ἐξάρχους τὸ στάσεως ἄνδρας δώδεκα, ἄλλον ἄλλῃ ὑπεξάγων, ἔπαυσε τὸ στάσιν.

ΚΕΦ. ιδ'.

ΕΠΑΜΙΝΩΝΔΑΣ.

Ἐπαμινώνδας ἐν Λεύκτροις προσῆγεν ἤδη τὴν φάλαγγα· Θέσπιεῖς ἐθελοκακοῦντες εἵποντο. Οὐκ ἠγνόησεν Ἐπαμινώνδας, ἀλλ' ὅπως μὴ ταράττοιτο ἡ τάξις ἐν τῷ καιρῷ τῆς μάχης, ἐκήρυξε· Βοιωτῶν ἀπέναι τοῖς βουλομένοις ἔξεστω. Θέσπιεῖς μὲν αὐτοῖς ὅπλοις ἀπηλλάσσοντο. Ἐπαμινώνδας δὲ τοῖς μείνασιν ὁπλίταις συντεταγμένοις καὶ προθύμοις χρησάμενος, εὐκλεῶς ἐνίκησεν.

ΚΕΦ. ιί.

Ἐπαμινώνδας Θηβαίων ἡγεῖτο, Λακεδαιμονίων Κλεόμβροτος· Λεῦκτρα ἔνθα ἡ μάχη. Τὸ μὲν ἔργον ἰσόῤῥοπον ἦν. Ἐπαμινώνδας δὲ Θηβαίων ἠτήσατο, ἓν βῆμα χαρίσασθέ μοι, καὶ τὴν νίκην ἕξομεν. Ἐπείθησαν, ἐνίκησαν· οἱ Λάκωνες ἔῤῥαν, καὶ Κλεόμβροτος ὁ βασιλεὺς ἔπεσεν ἐν τῇ μάχῃ.

ΚΕΦ. ιε.

Ἐπαμινώνδας προτρέπων Θηβαίους προθύμως ὁρμῆσαι ἐπὶ Λακεδαιμονίους, μέγιστον ἔχιν συλλαβὼν, ἔδειξεν αὐτοῖς, καὶ πάντων ἐναντίον τὴν κεφαλὴν τοῦ θηρίου σιωτρίψας· "Ὁρᾶτε, ἔφη, "ὅλι τὸ λοιπὸν σῶμα ἄχρηςόν, τὴν κεφαλῆς οἰχο- "μένης. Οὕτω δὴ καὶ τῶν πολεμίων κεφαλαί. "Ἤντε τὸ Λακωνικὸν τοῦτο συντρίψωμεν, τὸ λοι- "πὸν σῶμα τῶν συμμάχων ἄχρηςον." Τούτῳ τῷ παραδείγματι Θηβαῖοι πειθέντες, ὁρμήσαντες προθύμως ἐπὶ τὴν φάλαγγα τὴν Λακωνικὴν, ἐτρέψαντο, καὶ τὸ πλῆθος τῶν συμμάχων ἔφυγον.

ΚΕΦ. ιζ.

ΙΠΠΟΔΑΜΑΣ.

Ἱπποδάμας ὑπὸ Ἀρκάδων ἐν Πρασίαις ἐπολιορκεῖτο. Λιμὸς ἦν. Οἱ Σπαρτιᾶται κήρυκα ἔπεμ- ψαν·

ψαν· εἴσω παρελθεῖν Ἀρκάδες οὐκ ἐπέτρεψαν· Ἱπποδάμας ἀπὸ τοῦ τείχους τῷ κήρυκι ἀπεκρίνατο· τοῖς Ἐφόροις ἄγγελε, τὴν γυναῖκα κωλύειν, τὴν ἐν τῷ ἱερῷ τῆς Χαλκιοίκου δεδεμένην. Οἱ μὲν Ἀρκάδες οὐκ ἐνόησαν· οἱ δὲ Λάκωνες συνῆκαν, ὅτι λιμὸν κωλύειν ἐπιχείρει. Ἦν γὰρ ἐν τῷ ἱερῷ τῆς Χαλκιοίκου ἀνακειμένη λιμοῦ γραφὴ, γυνὴ γεγραμμένη, ὠχριῶσα, λεπτὴ, τὼ χεῖρε ὀπίσω δεδεμένη. Ὥστε τὸ ἀφανὲς τοῖς πολεμίοις, φανερὸν τοῖς πολίταις Ἱπποδάμαντος ἦν.

ΚΕΦ. ιη'.

ΑΡΙΣΤΟΜΕΝΗΣ.

Ἀριστομένης Μεσσηνίων ἡγεμὼν, τρὶς Ἑκατομφόνια θύσας κατὰ Λακεδαιμονίων, ἰσχυροῖς ποτὲ τραύμασι περιπεσὼν, ἑάλω σὺν ἄλλοις πολίταις. Ἔδοξε τοῖς Λάκωσιν ἅπαντας κατακρημνίσαι· τοὺς μὲν ἄλλους γυμνούς, τὸν δὲ Ἀριστομένην διὰ τὴν δόξαν τῆς ἀρετῆς ἐν τοῖς ὅπλοις. Οἱ μὲν δὴ ἄλλοι κατενεχθέντες παραχρῆμα ἐτελεύτησαν· τοῦ δὲ Ἀριστομένους ἡ ἀσπὶς ἐφελκομένη τὸν ἀέρα, ἐλαφρῶς αὐτὸν ἐπὶ τὴν γῆν κατήνεγκεν. Ὁ δὲ εἰς τὸ ὕψος ἀναβλέπων καὶ τοὺς κρημνοὺς ἐν κύκλῳ περιέχοντας, οὐκ ἀνῆκε τῆς ἐλπίδος. Ἀλλὰ τὸ σύμπαν ὄρος ἀνασκοπούμενος, καταπόησας εἴσδυσιν στενωτάτην, καὶ δι' αὐτῆς ἀλώπεκας εἰσιούσας, ἀπὸ τῶν νεκρῶν ὅσους κλάσας, μιᾶς τῶν ἀλωπέκων

κων λαβόμενος τ̃ ὐρᾶς, δακνόμενος ὑπ' αὐτῆς συνεξέδυ αὐτῇ, τὰ στενοπόρα τοῦ ὄρους τῷ ὀστῷ παραίρων καὶ παρακόπτων. Καὶ δὴ προελθὼν ἧκέν εἰς τοῦ Μεσσηνίους, προϊέναι μέλλοντας ἐς τὴν μάχην· καὶ αὐτίκα ὁπλισάμενος αὐτὸς ἡγεῖτο τ̃ φάλαγγος. Οἱ δὲ Λάκωνες Ἀριστομένην ἰδόντες πάλιν ἐν τοῖς ὅπλοις, πάλιν ἀριστεύοντα, πάλιν διώκοντα, τὸν βεβλημένον κατὰ τ̃ κρημνῶν, ἀφ' ὧν ὐδεὶς ἐσώθη πώποτε, πάντες ἐνέκλιναν ἐς φυγὴν, θνητῆς φύσεως μείζονα εἶναι τ̃ ἄνδρα ἡγούμενοι.

ΚΕΦ. ιθ'.

Αριστομένης ὁ Μεσσήνιος, Λακεδαιμονίων τοῖς Διοσκούροις πάνδημον θυσίαν ἐπιτελούντων, μετὰ ἑνὸς φίλου, λευκῶν ἵππων ἐπέβησαν ἄμφω, καὶ ταῖς κεφαλαῖς περιεθηκάτην χρυσοῦς ἀστέρας, καὶ νυκτὸς ἤδη προϊούσης ἐπεφάνησαν κατὰ σύμμετρον διάστημα τοῖς Λακεδαιμονίοις, ἔξω πόλεως μετὰ γυναικῶν καὶ παιδίων πανηγυρίζουσιν. Οἱ μὲν δὴ Διοσκούρων ἐπιφάνειαν ἠγηθέντες γεγονέναι, προϊέσαν ἐς μέθην καὶ ἡδονὴν πλείονα· οἱ δὲ ἀπὸ τ̃ ἵππων καταβάντες, τὰ ξίφη σπασάμενοι, πλείστους καταφονεύσαντες αὐτῶν, καὶ δὴ ἀφιππεύσαντες ᾤχοντο.

ΚΕΦ. κ΄.

ΗΓΗΤΟΡΙΔΗΣ.

ΘΑΣΟΝ ἐπολιόρκων Ἀθηναῖοι. Νόμον ἐκύρωσαν Θάσιοι. "Τῷ γράψαντι ἀπείσαθαι "πρὸς Ἀθηναίους, θάνατος ἔσω." Ἡγήτορίδης Θάσιος ὁρῶν πολίτας ἀπολλυμένους μακρῷ πολέμῳ καὶ λιμῷ βρόχον τῷ τραχήλῳ περιβαλὼν, ἐς ἐκκλησίαν εἰσελθών· "Ἄνδρες, ἔφη, πολῖται, "ἐμοὶ μὲν ὡς βέλεσθε, καὶ ὡς ὑμῖν συμφέρει, "χρήσασθε· σοὶ δὲ ὑπολειπομένους πολίτας "διασώσατε, τῷ ἐμῷ θανάτῳ λυσαντες τὸν νό-"μον." Θάσιοι ταῦτα ἀκούσαντες, καὶ τὸν νόμον ἔλυσαν, καὶ τὸ Ἡγητορίδου σῶον ἐφύλαξαν.

ΚΕΦ. κα΄.

ΙΦΙΚΡΑΤΗΣ.

ΙΦικράτης ἐπὶ τοὺς πολεμίους περῆγε τὸ Φάλαγγα. Τῶν στρατιώτων τινὲς ὀκνηροὶ, καὶ δειλοὶ, καὶ ἀχριῶντες εἵποντο. Τούτους ἰδὼν Ἰφικράτης, κατα βραχὺ προελθὼν, ἐκήρυξε· "Τῆς στρατείας ἄφνω "γιγνομένης, εἴ τις ἀπολέλοιπέ τι, ἀναστρεφέτω, καὶ "παρασκευασάμενος καλῶς ἑπανηκέτω." Ἠθησαν οἱ δειλοὶ, καὶ αὐτίκα ἀνέστρεψαν. Ὁ δὲ Ἰφικράτης οὐκ ἀναμείνας, "Νῦν, ἔφη, ἄνδρες, τῶν "ἀνδραπόδων ἀπηλλαγμένων, ἡμεῖς τοῖς πολε-

"μίοις

"μίοις συνάπτωμεν, ἵνα ἐς μόνοι τοῦ καρποὺς τῆς "ἀνδραγαθίας λάβωμεν." Πολλῷ μᾶλλον οἱ στρατιῶται ἐθάρρησαν, καὶ συμβαλόντες ἄνευ τῶν δειλῶν ἐνίκησαν.

ΚΕΦ. κβ'.

Ἰφικράτης Λακεδαιμονίοις παραταξάμενος ἤρχετο. Πολλοὶ παρεκάλουν αὐτὸν, ὅπως ἀποφήνῃ τὸν μὲν χιλίαρχον, τὸν δὲ πεντακοσίαρχον· καὶ ἄλλος ταξίαρχος, καὶ λοχαγὸς ἕτερος ἐσπούδαζε γενέσθαι. Πάντας τοῦ παρακαλοῦντας ἀνεβάλετο εἰς καιρὸν ἐπιτήδειον. Ὁ δὲ καιρὸς οὗτος ἦν· Προάγει τὸν φάλαγγα, καὶ καθιστάμενος τὸν τάξιν, ἐκέλευσεν ἐν ἀπορρήτῳ κινῆσαι πανικὸν, ὡς τῶν πολεμίων ἐμβεβληκότων. Ταραχὴ μεγάλη πάντων. Οἱ μὲν δειλοὶ φοβηθέντες ἀνεχώρουν, οἱ δὲ ἀνδρεῖοι προῆλθον ἀντιταξόμενοι τοῖς πολεμίοις. Ἰφικράτης γελάσας, ὡμολόγησε τὸ πανικὸν αὐτὸς κεκινηκέναι, πειρώμενος τῶν δυναμένων ἡγεῖσθαι. Τοῖς μὲν δὴ μείνασι χιλιαρχίας καὶ ταξιαρχίας ἔδωκεν· τοὺς δὲ ἀναχωρήσαντας ἐκέλευσε τούτοις ἕπεσθαι.

ΚΕΦ. κγ'.

Ἰφικράτης καὶ ἐν τῇ φιλίᾳ τὸν χάρακα ἐβάλλετο, λέγων· "Οὐ στρατηγικὸν τὸ, οὐκ ᾤμην."

ΚΕΦ.

ΚΕΦ. κδ'.

Ιφικράτης τροδοσίας δίκλω ἔφυγεν· Ἀριστοφῶν δὲ καὶ Χάρης ἐδίωκον. Αἰτία δὲ ἦν, ὅτι ἄρα περὶ Ἔμβατα δυνάμενος ἑλεῖν τοὺς τολεμίους, ὐ διεναυμάχησεν. Ὁρῶν δὲ τὸ δικαστήριον ὑποφερόμενον εἰς τἐναντίον, ὃ λόγῳ τausάμενος, παρέφλυέ πως τὸ ξίφος τῇ δικαστῶν. Οἱ δὲ καταδείσαντες, μὴ τὴν ἑταιρίαν ὅλως ἐξοπλίσας, κυκλώσειε τὸ δικαστήριον, ἄφεσιν αὐτῷ τάντες ἐψηφίσαντο. Μετὰ τὴν νίκην ψηφίσματός τινος, ὡς παρεκρόσετο τοὺς δικαστάς· "Εὐήθης ἂν εἴην, ἔφη, ὑπὲρ Ἀθηναίων "μὴ στρατηγῶν, ὑπὲρ ἐμαυτοῦ δὲ πρὸς Ἀθηναίους "μηκέτι."

ΚΕΦ. κε'.

ΓΕΣΚΩΝ.

Αμίλκας Καρχηδονίων, ἄριστος στρατηγὸς τῶν ἐν Λιβύῃ στρατηγῶν, πολλοὺς πολέμους κατορθώσας, φθονηθεὶς, ὑπὸ τῶν Δαπολιτευομένων Δαβληθεὶς, ὡς ὑπιθέμενος Τυραννίδι, αὐτός τε ἀνηρέθη, καὶ ὁ ἀδελφὸς αὐτοῦ Γέσκων φυγαδευθεὶς ἐξέπεσε. Τὰ δὲ χρήματα αὐτῶν δημευθέντα ἐνείμαντο οἱ πολῖται. Τούτων πραχθέντων, οἱ Καρχηδόνιοι στρατηγοῖς ἄλλοις χρησάμενοι, καὶ πολλάκις ἡττώμενοι καὶ ἀλῶναι κινδυνεύοντες, μετεγνωσαν ἐπὶ τῇ τοῦ Γέσκωνος φυγῇ, καὶ τῇ ἀναιρέσει τοῦ Ἀμίλκου.

Ἄλλα

Ἀλλὰ τὸν μὲν Ἀμίλκαν τεθνηκότα οὐχ οἷόν τε ἦν ἀναπαλέσασθαι· τὸν Γέσκωνα δὲ ἀπὸ τῆς φυγῆς ἀνεκαλέσαντο, καὶ αὐτοκράτορα στρατηγὸν ἀπέδειξαν, καὶ τοὺς ἐχθροὺς αὐτῷ παρέδωκαν εἰς τιμωρίαν καθ' ὃν ἂν βούληται τρόπον.

Γέσκων δὲ φοβηθεὶς αὐτοὺς δεδεμένους, προσέταξε τῷ πλήθει ἐναντίον, κατὰ γαστέρα καλακλίναι χαμαὶ· τοὺς δὲ ἑκάστοις ἐλαφρῷ τῷ ποδὶ ἐπὶ τὸ στόμαχλον ἐπιβάς· Ἱκανὴν ἔφη τιμωρίαν ἔχειν τὸν ἀδελφὸν προαναιρέσεως. Τοῦτο πράξας, ἀφῆκε τοὺς ἐχθρούς, προσειπών· "Οὐ κακῷ κα-"κὸν ἠμυνάμην, ἀλλ' ἀγαθῷ κακόν." Τοιαῦτα δὲ αὐτοί τε οἱ ἐχθροὶ, καὶ οἱ τούτων οἰκεῖοι, καὶ οἱ Καρχηδόνιοι πάντες πειθαρχήσαντες τῷ Γέσκωνι διετέλεσαν, ὡς ἀγαθῷ στρατηγῷ. Καὶ αὐτίκα μεταβολὴ τοῦ πολέμου νίκης ἐγένετο, νικῶντος δὲ Γέσκωνος ἐν ταῖς μάχαις διὰ τὴν παρὰ τῶν ἀρχομένων εὔνοιαν καὶ προθυμίαν.

ΚΕΦ. κς'.

ΤΙΜΟΛΕΩΝ.

Τιμολέων ἐν Σικελίᾳ τὴν δύναμιν ἐξήγαγε, παρασκευαζομένην Καρχηδονίοις ἐς τὴν νῆσον διαπεπλευκόσιν. Ἡμίονος ἀπήντα τὸ αὐτοῖς, κομίζων σελίνα· οἱ στρατιῶται τὸ σημεῖον ἐφοβήθησαν, ὅτι ἄρα παρ' αὐτοῖς τὰ μνημεῖα τῶν ἀποθανόντων στεφανοῦσι σελίνοις. "Τιμολέων, καὶ μὴν μάλλον,

"ἔφη,

"ἔφη, φανερὰν νίκην οἱ θεοὶ δηλοῦσιν ἡμῖν. Τοὺς "γὰρ τοῦ Ἰσθμια νικῶντας οἱ Κορίνθιοι τῶν σελίνων "στεφανοῦσι." Ταῦτα εἰπὼν, αὐτός τε τῶν σελίνων ἀνεστέψατο, καὶ τοὺς περὶ αὐτὸν ἡγεμόνας ἀνέστεψεν· ὥστε καὶ οἱ στρατιῶται, ἄλλος πρὸς ἄλλου τῶν σελίνων λαβόντες, εὐτολμότεροι πρὸς τὴν μάχην ἐγένοντο.

ΚΕΦ. κζ'.

ΖΩΠΥΡΟΣ.

Δαρεῖος πολιορκῶν Βαβυλῶνα χρόνῳ μακρῷ, τὴν πόλιν ἑλεῖν οὐχ οἷός τε ἦν. Ζώπυρος Δαρείου σατράπης, ἀκρωτηριάσας τὸ πρόσωπον ἦκεν αὐτόμολος, ὡς ταῦτα δὴ ὑπὸ Δαρείου παθών. Βαβυλώνιοι πιστεύσι τῇ ὄψει τοῦ συμφορᾶς, καὶ τῷ Ζωπύρῳ τὴν πόλιν ἐπιτρέπουσιν· ὁ δὲ νύκτωρ ἀνοίγει τὰς πύλας. Καὶ Δαρεῖος κρατήσας Βαβυλῶνος, ἐκεῖνο δὴ τὸ λαμπρὸν ἐφθέγξατο· "Ἀλλ' οὐδὲ κ' "Βαβυλῶνας ἔχειν ἐβουλόμην ἄν, ἐφ' ᾧτε ὁρᾶν "τοιαῦτα παθόντα Ζώπυρον."

ΚΕΦ. κη'.

ΑΛΕΞΑΝΔΡΟΣ.

Ἀλέξανδρος ἦν ἐν Ἰνδοῖς, καὶ τὸν Ὑδάσπην ποταμὸν διαβαίνειν ἔμελλε. Πῶρος Ἰνδῶν βασιλεὺς ἐπέκεινα τοῦ ποταμοῦ τὴν δύναμιν ἀντιπαρε-

τάσετο, καὶ διαβαίνειν ἀδύνατον ἦν. Ἀλέξανδρος ἄνω τοῦ ποταμοῦ ἀντιπαρεξήγεν· καὶ ὁ Πῶρος ἄνω πάλιν. Ἀλέξανδρος τοῦ ποταμοῦ κάτω· καὶ ὁ Πῶρος ὁμοίως κάτω. Τοῦτο ἐγένετο καὶ πολλάκις καὶ ἐπὶ πολλὰς ἡμέρας, ὥστε οἱ μὲν Ἰνδοὶ κατεγέλασαν τῆς δειλίας τῶν πολεμίων, καὶ συμπαραθέοντες ἐπαύσαντο, ὡς οὐκ ἂν ποτὲ διαβῆναι τολμησόντων, οἱ τοσάκις οὐκ ἐθάρρησαν. Ἀλέξανδρος δὲ ὀξυτάτῳ δρόμῳ παρὰ τὰς ὄχθας ἀναδραμὼν, ἐπιβὰς πλοίων καὶ ζυγμάτων, καὶ διφθερῶν χόρτου πεπληρωμένων, διέβη τὸν ποταμὸν, ἐξαπατήσας Ἰνδοὺς τῷ τοῦ διαβάσεως ἀνελπίστῳ.

ΚΕΦ. κθ'.

Ἀλέξανδρος ἔλαβε Θήβας, τὸ δυνάμεως ἱκανὴν ἀποκρύψας, καὶ πάσας ἐπ' αὐτῆς Ἀντίπατρον· τὸ δὲ φανεραν αὐτῆς ἦγεν ἐπὶ τοὺς ἐχυροὺς τῶν τόπων. Θηβαῖοι δὲ ἐπεξῆλθον, καὶ πρὸς τὸ ὁρωμένῳ δύναμιν οὐκ ἀγωνῶς ἀνθιπαρετάσαντο. Ἀντίπατρος ἐν τῷ καιρῷ τῆς μάχης τὸ κεκρυμμένῳ δύναμιν ἀναστήσας, κύκλῳ περιελθὼν, ἣ σιδηρὸν καὶ ἀφύλακτον ἦν τὸ τεῖχος, ταύτῃ κατελάβετο τὸ πόλιν, καὶ σημεῖον ἦρεν. Ἀλέξανδρος ἰδὼν ἀνεβόησεν, ὡς ἤδη τὰς Θήβας ἔχοι· Θηβαῖοι δὲ εὐρώστως μαχόμενοι, ὡς εἶδον ὑπερφέντες ἐαλωκυῖαν τὸ πόλιν, ἔφευγον.

ΚΕΦ.

ΚΕΦ. λ'.

Αλέξανδρος ὁπότε παρὰ τῶν μάντεων ἤκουσεν καλὰ γεγονέναι τὰ ἱερα, περιφέρειν ἐκέλευε τὰ ἱερεῖα, καὶ δεικνύειν τοῖς στρατιώταις· ἵνα μὴ μόνον ἀκούοντες, ἀλλὰ καὶ ὁρῶντες, ἀγαθὰς ἔχοιεν περὶ τοῦ κινδύνου τὰς ἐλπίδας.

ΚΕΦ. λα'.

Αλέξανδρος ἐν Ἀρβήλοις Δαρεῖον ἐνίκησε. Φρασαόρτης Δαρείου συγγενὴς, πολλὴν χεῖρα Περσικὴν ἔχων, ἐφύλαττε τὰς Σουσίδας πύλας· αἱ δὲ ἄρα εἰσὶν ὄρη στενὰ καὶ ὑψηλά. Τούτοις προσβάλλοντας τοὺς Μακεδόνας εὐκόλως ἀπεκρούοντο οἱ βάρβαροι, σφενδόνας, βέλη, πέτρους ἀφίεντες· ὥστε ἀνακαλέσας αὐτοὺς Ἀλέξανδρος, ἀπὸ τριάκοντα σταδίων χάρακα ἐβάλετο. Ἦν δὲ λόγιον Ἀπόλλωνος, ὡς ἄρα ξένος Λύκος ἡγεμὼν αὐτῷ γένοιτο. Πρόσεισι δὴ τῷ Ἀλεξάνδρῳ βουκόλος θηρείαν ἔχων στολὴν, ὁμολογῶν ὅτι Λύκιος ἦν, καὶ ὡς κύκλῳ τῶν ὄρων ἀτραπὸς εἴη, τῷ συνηρεφεῖ τῆς ὕλης ἀποκεκρυμμένη αὐτῷ δὲ μόνῳ γιγνώσκοιτο διὰ τὴν τῶν βοῶν νομήν. Ἀναμνησθεὶς Ἀλέξανδρος τοῦ μαντείου, πιστεύει τῷ βουκόλῳ. Τὴν μὲν δὴ πᾶσαν στρατιὰν ἐκέλευσε ἐν στρατοπέδῳ μένειν, καὶ πολλὰ πυρὰ ἀνακαίειν, ἐφελκομένους τὴν τῶν Περσῶν ὄψιν. Φιλώτᾳ δὲ καὶ Ἡφαιστίωνι παράγγελμα δοὺς ἀπόρρη-

τον, ὁπόταν κατὰ κορυφῆς τ ὄρων ἴδωσι τοὺς Μακεδόνας ἐκφανέντας, αὐτὸς κάτωθεν προσβαλεῖν· αὐτὸς τὰς ὑπαπιούσας ἄγων, καὶ μίαν ὁπλιτῶν φάλαγγα, καὶ τὸ Σκυθικὸν τοξικὸν ὅσον ἦν, διὰ τ ἀτραπῶν τ λεπτῆς, ὀγδοήκοντα σταδία προελθὼν ἠύλίσατο, συκαζόμενος ὕλη δασυτάτῃ· μέσης δὲ νυκτὸς προελθὼν ἐπέσῃ τοῖς πολεμίοις καθεύδουσιν. Ἀρχομένης δὲ ἡμέρας αἱ σάλπιγγες ἐσήμαινον, ἀπὸ τ κορυφῆς τῶν ὀρῶν. Ἡφαιστίων δὲ καὶ Φιλώτας σὺν τ ἵππῳ χάραξ Μακεδόνας προσῆγον· οἱ Πέρσαι μέσοι τῶν ἄνωθεν πολεμίων καὶ τῶν κάτωθεν ἀπολαφθέντες, οἱ μὲν ἐκτείνοντο, οἱ δὲ κατεκρημνίζοντο, οἱ δὲ ἐζωγρεῦντο.

ΚΕΦ. λϛ'.

Ἀλέξανδρος τὴν ἄνυδρον ὁδεύων, αὐτός τε ὑπὸ δίψους ἐπόνει, καὶ οἱ Μακεδόνες. Οἱ κατάσκοποι τ χώρας ἐν κοίλῃ πέτρᾳ σμικρὸν ὕδατιον εὑρόντες, τοῦτο βάλλοντες δῆτα κράνος Ἀλεξάνδρῳ κομίζουσιν. Ὁ δὲ τῇ στρατιᾷ δείξας ὡς εὐθυμεῖν χρὴ, φανέντος ὑδατος, αὐτὸς μὴ πιὼν ἐξέχεε τὸ κράνος πάντων ὁρώντων. Οἱ Μακεδόνες ἀλαλάζοντες ἐκέλευον αὐτὸν ἡγεῖσθαι τ ὁδοῦ, πρὸς τὸ δίψος εὐρώστως ἀντέχοντες διὰ τὴν τοῦ βασιλέως ἐγκράτειαν.

ΚΕΦ.

ΚΕΦ. λγ'.

Ἀλέξανδρος ὥρα θέρους ἦγε τὴν στρατιὰν ἐπὶ τὸν ποταμὸν, προσκειμένων πολεμίων. Ὁρῶν δὲ τοὺς στρατιώτας διψῶντας, καὶ ἀφορῶντας εἰς τὸ ῥεῦμα τοῦ ποταμοῦ, ἵνα μὴ πίνοντες διαλύσειαν τὰς τάξεις, μηδὲ τὸ τῆς ὁδοιπορίας τάχος διακόψειαν, τὸν κήρυκα ἐκέλευεν εἰπεῖν, "Ἀπεχώμεθα τοῦ ποταμοῦ· θανατῶδες ἔχει τὸ ὕδωρ." Οἱ μὲν φοβηθέντες ἀπέσχοντο, καὶ τὴν ὁδὸν ἐτάχυνον. Ἀλέξανδρος δὲ διανύσας, καὶ στρατοπεδεύσας, αὐτὸς μετὰ τῶν ἡγεμόνων ἀπὸ τοῦ ποταμοῦ φανερῶς ἔπιεν. Γελάσαντες οἱ στρατιῶται, καὶ τὴν αἰτίαν τῆς ἀπάτης νοήσαντες, ἀδεῶς ὑδρεύσαντο ἐκ τοῦ ποταμοῦ πάντες.

ΚΕΦ. λδ'.

ΚΑΜΒΥΣΗΣ.

Καμβύσης Πηλούσιον ἐπολιόρκει. Αἰγύπτιοι κρατερῶς ἀνθίσταντο, ἀποκλείοντες τοῦ Αἰγύπτου τὰς ἐμβολὰς, καὶ πολλὰ προσάγοντες μηχανήματα, ἐφίεσαν καταπέλτας ὀξυβελεῖς, πέτρας, καὶ πῦρ. Καμβύσης ὅσα σέβεσιν Αἰγύπτιοι ζῶα, Κύνας, Πρόβατα, Αἰλούρους, Ἴβεις, πρὸ τοῦ ἑαυτοῦ στρατιᾶς ἔταξεν· Αἰγύπτιοι δὲ βάλλοντες ἐπαύσαντο, φόβῳ τοῦ πληγῆναί τι τῶν ἱερῶν ζώων. Οὕτω Καμβύσης Πηλούσιον ἑλὼν, εἴσω τῆς Αἰγύπτου παρῆλθεν.

ΚΕΦ.

ΚΕΦ. λε'.

ΞΕΡΞΗΣ.

Ξερξης ἐν Θερμοπύλαις διὰ τὴν στενότητα τῶν ὀρῶν πολλοὺς Περσῶν ἀποβαλὼν, Τραχινίου ἀνδρὸς Ἐφιάλτου δείξαντος ἀτραπὸν περὶ τοῖς ὄρεσι στενὴν, ἔπεμψεν ἄνδρας δισμυρίους· οἳ περιελθόντες, κατὰ νώτου γενόμενοι τῶν Ἑλλήνων, ἀπέκτειναν ἅπαντας, ὧν ἡγεῖτο Λεωνίδης.

ΚΕΦ. λϛ'.

ΜΙΘΡΙΔΑΤΗΣ.

Μιθριδάτῃ ὁ βασιλεὺς προσέταξεν ἀποστάντα Δαταμὴν κτεῖναι, ἢ ἄγε. Μιθριδάτης ὑποκρίνεται καὶ αὐτὸς ἀποστῆναι βασιλέως. Οὐ μὴν ὄγε Δατάμης ἐπίστευσεν, εἰ μὴ πρόσθεν πολλὰ λυμανεῖται τῇ βασιλέως ἀρχῇ. Καὶ δὴ πολλὰ ἐλυμήνατο. Φρούρια βασιλέως κατέσκαψε, κώμας κατέπρησε, φόρους ἥρπασε, λείαν ἤλασεν. Ἔδειξεν ἄρα πολέμιος εἶναι βασιλεῖ. Ἄμφω δὴ τότε συνηλθέτην γυμνὼ, διαλεξομένω περὶ ὧν χρή. Μιθριδάτης ἐν τῷ χωρίῳ τούτῳ προκατεσκευάσατο νύκτωρ ἐγχειρίδια πολλὰ, κεκρυμμένον ἄλλο ἀλλαχοῦ· καὶ τούτοις ἐπέκειτο σημεῖον. Διαλεγόμενος δὴ προσῆγεν αὐτὸν ἠρέμα βαδίζων. Ἐπεὶ δὲ ἅλις ἦν τοῦ λόγου, Δατάμης ἀσπασάμενος ἀπῄει·

ἀπήει· Μιθριδάτης ἐν τῶν ἐγχειριδίων ἀνελόμενος διὰ τάχους, καὶ ὑπὸ τῇ ἀριστερᾷ χειρὶ κρύψας, ἀνεκαλέσατο Δατάμην, ὡς ἐπιλαθόμενος δή τινων ἃ ἐχρῆν εἰπεῖν· προσελθόντα δὲ, ἐκεῖνο τὸ ὄρος ἐκέλευσεν ὀχυρῶσαι μάλιστα. Οὕτως ἀφορῶντα Δατάμην ἐς τὸ ὄρος τῷ ἐγχειριδίῳ Μιθριδάτης πλήξας ἀπέκτεινεν.

ΚΕΦ. λζ'.

ΣΟΥΡΗΝΑΣ.

Σουρήνας Παρθυαίων ἡγούμενος, Κράσσον μετὰ πολλῆς ἥττης ἀναχωροῦντα, καὶ διὰ τῶν ὀρεινοτέρων ὁδεύειν πειρώμενον, τὴν ἐξ ἀπονοίας μάχην φοβούμενος, ἔπεμψε πρεσβευτὴν ὡς αὐτὸν, λέγοντα· "Συντίθεταί σοι φιλίαν Βασιλεὺς μέγας· "δείξας Ῥωμαίοις ἀνδρείαν, νῦν δεῖξαι βούλεται "φιλανθρωπίαν." Κράσσος δόλον ὑφορώμενος οὐκ ἐπείθετο. Οἱ στρατιῶται ἀθυμοῦντες καὶ ἀπειρηκότες, ἐβιάσαντο αὐτὸν τὰ ὅπλα κρούσαντες, πιστεῦσαι ᾧ βαρβάρῳ. Κράσσος ἄκων πεζὸς ἐβάδιζεν. Σουρήνας φιλοφρονούμενος δὴ ἵππον χρυσοχάλινον αὐτῷ παρέστησεν, ἐφ' οὗ καθίσαι προσέταξεν. Ὁ μὲν δὴ ἀναβαίνει τὸν ἵππον· ὁ δὲ βαρβαρὸς ἱπποκόμος κεντρίσας ἐπετάχυνε τοῦ ἵππου τὸν δρόμον, ὅπως τὸν Κράσσον ἐς τὸ πλῆθος ἐξενέγκοι τῶν Παρθυαίων. Ὀκταούιος τῶν περὶ Κράσσον ἡγεμόνων συνεὶς τῆς ἀπάτης, λαμβάνεται τῶν χαλινῶν, καὶ μετ'

ἐκεῖνον

ἐκεῖνον εἰς τ̃ χιλιάρχων Πετρώνιος· ὥςε τ̃ μὲν ἱππικόμον Ὀκταύιος κτείνει, ἀπασάμενος τὸ ξίφος· τ̃ ἢ Ὀκταύιον ἄλλος τὶς τ̃ Παρθυαίων. Τὸν δὲ Κράσσον Ἐξαίθρης Παρθυαῖος, καὶ τὴν κεφαλὴν αὐτ̃ καὶ τ̃ δεξιὰν ἀποκόψας, ἐκόμισε πρὸς μέγαν βασιλέα Παρθυαίων Ἡρώδην. Ἔτυχε δὲ βασιλεὺς κατ' ἐκεῖνο τ̃ ὥρας ἑστιώμενος καὶ ᾠδὰς τὸν πότον ἀκροώμενος Ἰάσονος Τραλλιανοῦ Τραγῳδοῦ, ὑποκρινομένου Βάκχας Εὐριπίδου. Ὁ μὲν δὴ τραγῳδὸς ᾖδεν ἐκεῖνα τὰ μέλη.

Φέρομεν ἐξ ὀρέων ἕλικα
Νεότομον ἐπὶ μέλαθρα,
Μακάριον θήραμα.

Οἱ δὲ Κράσσου κεφαλὴν νομίζοντες τῷ βασιλεῖ προσήνεγκαν. Ἐπὶ τούτῳ μεγάλη βοὴ καὶ πολὺς χρότος ἐγένετο· ὥςε ὁ μὲν Ἐξαίθρης ἀναπηδήσας, ἔφη· Ἐμοὶ ταῦτα μᾶλλον τὰ μέλη προσήκει ᾄδειν, ἢ τῷ τραγῳδῷ. Βασιλεὺς ἥδεις τοῦτον μὲν ἐτίμησεν οἷς πάτριον ἦν· τῷ Ἰάσονι δὲ τῷ τραγῳδῷ τάλαντον ἔδωκε.

ΚΕΦ. λη'.

ΝΟΥΜΑΣ.

Νουμᾶς Ῥωμαίους ἐκ πολέμου καὶ φόνου βιαλόμενος μεταβαλεῖν ἐς εἰρήνην καὶ νόμους, ἀναχωρῶν τῆς πόλεως εἰς τέμενος ἱερὸν Νυμφῶν, ἐν τούτῳ μόνος διαιτώμενος συχνὰς ἡμέρας, ἐπανῆει παρὰ

παρὰ τῶν νυμφῶν θεοπρόπια νομίζων, ἃ συνεβούλευεν ἡγεῖσθαι νόμους. Τούτοις ἐπείθοντο Ῥωμαῖοι. Ὅσαι μέχρι νῦν ἑορταὶ, θυσίαι, τελεταὶ, ἱερουργίαι, ταῦτα πάντα Νόμας, οἷα δὴ νόμους Νυμφῶν, κατεστήσατο.

Δοκεῖν δὲ ἐμοὶ, ζηλωτὴς ἐγένετο Μίνω καὶ Λυκούργου. Καὶ γὰρ οὕτω τοὺς νόμους, ὁ μὲν παρὰ Διὸς, ὁ δὲ παρὰ Ἀπόλλωνος μαθόντες, ἢ μαθεῖν φάσκοντες, ἔπειθον αὐτοῖς χρῆσθαι, ὁ μὲν Κρῆτας, ὁ δὲ Λάκωνας.

ΚΕΦ. λϑ'.

ΤΑΡΚΥΝΙΟΣ.

ΤΑρκύνιος Γαβίους πολιορκῶν χρόνῳ μακρῷ, μὴ δυνάμενος ἑλεῖν τὸ νεώτατον τῶν παίδων Σέξτον πλησγαῖς αἰκισάμενος, αὐτόμολον ἔπεμψεν. Οἱ δὲ τὸ σῶμα πικρῶς ἠκισμένον ἰδόντες, ἐδέξαντο, πολλὰ καὶ μεγάλα ἐπαγγειλάμενον κατὰ τοῦ πατρός· ὧν τὰ πλεῖστα δράσας, πιστὸς ἦν. Ἐλπίζετο Ῥωμαίους, ἐς Φυγὴν ἐτρέπετο, αἰχμαλώτους ἐλάμβανε, μάχας ἐνίκα πολλάς· ὥστε καὶ οἱ Γάβιοι θαυμάσαντες, αὐτοκράτορα στρατηγὸν αὐτὸν ἀπεφήναντο. Ὁ δὲ ἄγγελον κρύφα πέμψας, τὸν πατέρα ἤρετο, τί δρᾶν κελεύοι. Ταρκύνιος δὲ· καὶ γὰρ ἔτυχεν ὁμιλῶν ἐν κήπῳ· τοὺς ὑψηλοτάτους μήκωνας ἀποκλάσας, ἔφη πρὸς τὸν ἄγγελον· φράζε μοι τῷ παιδὶ τοῦτο πράττειν. Ὁ μὲν ἤγγειλεν. Ὁ δὲ

Σέξτος τοὺς προέχοντας τῶν Γαβίων διαφθείρας, οὕτω μηχανησάμενος ἐρημίαν καὶ ἀσθένειαν Γαβίοις, τὴν πόλιν αὐτῶν παρέδωκε Ῥωμαίοις.

ΚΕΦ. μ΄.

ΜΟΥΚΙΟΣ.

Τυῤῥηνοὶ Ῥωμαίοις ἐπολέμουν. Τυῤῥηνῶν βασιλεὺς ἦν Πορσίνας· Ῥωμαίων ἦρχε Ποπλικόλας, τρίτον ὑπατεύων, Μούκιος Ῥωμαῖος ἀνὴρ, ἄριστος τὰ πολέμια, Πορσίναν βουλόμενος ἀνελεῖν, ἐς τὸ Τυῤῥηνικὸν στρατόπεδον ἦλθεν, ἐσθῆτα ἔχων Τυῤῥηνίδα, καὶ τῇ φωνῇ Τυῤῥηνίζων. Καὶ δὴ παρελθὼν ἐπὶ τὸ βῆμα, τὸν βασιλέα τὸν Πορσίναν οὐκ εἰδὼς ὅστις ἦν, ὃν φήθη μάλιστα τῶν καθεζομένων ἐοικέναι βασιλεῖ, καὶ δὴ τοῦτον ἔκτεινε, σπασάμενος τὸ ξίφος. Συλληφθεὶς ὡμολόγησεν ὅς τις ἦν. Πορσίνας μὲν δὴ ἔθυεν ἐπὶ τῇ σωτηρίᾳ τοῖς Θεοῖς· Μούκιος δὲ τὸν ἐχθρὰς ὧν ἐχθρὸς, ὑπερέσχε τὴν χεῖρα τὴν δεξιὰν, ἣ τῆς χειρὸς καιομένης, εἰσήκει τῷ Πορσίνᾳ Μαλεγόμενος Φαυδρῷ καὶ ἀτρέπτῳ τῷ προσώπῳ. Ὡς δὲ Πορσίνας τὴν ἀρετὴν ὑπερεθαύμαζε· "Μούκιος, μηδαμῶς, ἔφη, θαυμάσης. "Τριακόσιοι Ῥωμαῖοι τὸν αὐτὸν ἐμοὶ καρτερίαν ἔ-"χοντες ἐν τῷ στρατοπέδῳ σε βουλεύονται, παρα-"φυλάσσοντες καιρὸν τῆς ἀναιρέσεως." Πορσίνας πιστεύσας τοῖς λεγομένοις, καὶ φοβηθεὶς τὸν πόλεμον πρὸς Ῥωμαίους διελύσατο.

ΚΕΦ.

ΚΕΦ. μα'.

ΜΑΡΚΕΛΛΟΣ.

Μαρκελλος Συρακȣ́σας πολιορκῶν, ὑπὸ τ̃ τοῦ Ἀρχιμήδȣ μηχανημάτων ἡσσῶμενος, προσβάλλειν μὲν οὐκ ἔτι τοῖς τείχεσιν ἐθάρσει, χρόνῳ δὲ τ̃ πολιορκίαν ἐπέτρεψε καὶ δὴ μετὰ πολὺ Δάμιππον Σπαρτιάτην Συρακȣσῶν ἐκπλέοντα ἑλὼν αἰχμάλωτον, ἔλαβε παρὰ τούτȣ, πύργον εἶναι τȣ̃ τείχȣς φυλασσόμενον ἀμελῶς, δυνάμενον δεξάσθαι ἄνδρας συχνȣ̀ς, τȣ̃ τείχȣς ἐπιβάτȣ ὄντος. Πρὸς δὴ τὸ ὕψος αὐτȣ̃ συμμέτρȣς κλίμακας κατασκευάσας Μάρκελλος, Συρακȣσίων ἑορτὴν ἀγόντων Ἀρτέμιδι, καὶ περὶ μέθην καὶ παιδιὰν ἐχόντων, τόν τε πύργον κατέσχε, καὶ κύκλῳ τὸ τεῖχος ὅπλων ἐπλήρωσε, καὶ πρὸ τ̃ ἕω τὰ Ἑξάπυλα διακόψας, κατέσχε τ̃ πόλιν. Οἱ μὲν στρατιῶται γενναίως ἀγωνισάμενοι τ̃ πόλεως ἁρπαγὴν ᾐτήσαντο· ȣ̀ μὴν ἔδωκε Μάρκελλος, ὅτι μὴ ἀπὸ μόνων ἀνδραπόδων καὶ χρημάτων ὠφελεῖσθαι· τῶν δὲ ἱερῶν καὶ τῶν ἐλευθέρων σωμάτων ἀπέχεσθαι προσέταξε.

ΚΕΦ. μβ'.

ΣΚΗΠΙΩΝ.

Σκηπίων Σύφακα τὸν Μασαισυέων βασιλέα σύμμαχον ποιησάμενος, διέβαλεν ἐς Σικελίαν.

λίαν. Ἀσδρύβας θυγατέρα παρθένον ἔχων θαυμασὴν τὸ κάλλος, ἐκδώσειν ὑπέσχετο τῷ Σύφακι τ᾽ Ῥωμαίων συμμαχίας ἀποστάντι. Ὁ δὲ γήμας τ᾽ κόρην προσέθετο καρχηδονίοις, καὶ παραχρῆμα ἐπέστειλε Σκιπίωνι, ἀπαγορεύων ὑπὲρ Λιβύης. Σκιπίων εἰδὼς Ῥωμαίους ἐπὶ τῇ Σύφακος συμμαχίᾳ μέγα φρονοῦντας, εἰ μάθοιεν προσθεμένου τοῖς πολεμίοις, οὐκ ἂν τολμήσαντας εἰς Λιβύην διαβαίνειν· ἐκκλησίαν αὐτῶν συναγαγὼν, ἐς τὐναντίον μετεποίησε τὰ γράμματα ὃ Σύφακος, ὡς κάλλιστος τὰς Ῥωμαίους ἐπὶ τ᾽ Λιβυην, καὶ ὡς θαυμάζοντος ὅτι καὶ νῦν βραδύνοιεν· καὶ ὡς δέον μὴ ἐκλύειν αὐτὸ τὴν ἀκμὴν τῆς συμμαχιάς. Τοιαῦτα εἰπὼν, ὁρμὴν καὶ θάρσος τοῖς Ῥωμαίοις ἐνεποίησεν. Οἱ δὲ εὐθὺς ἡμέραν ἤτησαν, καθ᾽ ἣν διαπλεῦσαι ποσσήκοι.

ΚΕΦ. μγ᾽.

Σκηπίων κατασκόπους Καρχηδονίων τρεῖς συλληφθέντας, νόμῳ Ῥωμαίων κελεύσαντος πολεμίων κατασκόπους ἀναιρεῖσθαι, τοῦτο μὲν οὐκ ἐποίησε· προσέταξε δὲ αὐτοῖς περιελθεῖν τὴν στρατιὰν ἅπασαν. Οἱ δὲ ἰδόντες Ῥωμαίους, τοὺς μὲν βάλλοντας, τοὺς δὲ ἀκοντίζοντας, τοὺς δὲ πηδῶντας, τοὺς δὲ ὅπλα ἐπισκευάζοντας, τοὺς δὲ ξίφη ἀκονῶντας, πάλιν ἦχθησαν ἐπὶ τ᾽ Σκηπίωνα. Ὁ δὲ δοὺς ἄριστον αὐτοῖς, Ἀπαγγείλατε, εἶπεν, ἃ εθέασθε πρὸς τ᾽ πέμψαντα ὑμᾶς. Οἱ δὲ ἐπανελθόντες, τῷ τε

Ἀννίβᾳ

Ἀννίβᾳ καὶ τοῖς ἄλλοις Καρχηδονίοις ταῦτα ἀπαγγείλαντες, ἐξέπληξαν αὐτὸς τῇ Ῥωμαίων παρασκευῇ, καὶ τῇ Σκηπίωνος μεγαλοψυχίᾳ.

ΚΕΦ. μδ'.

ΚΑΙΣΑΡ.

ΚΑῖσαρ ὡς Νικομήδη πολέων περὶ Μαλέαν ὑπὸ λῃστῶν ἥλω Κιλίκων. Οἱ μὲν ἤτησαν λύτρα μεγάλα· ὁ δὲ τὰ διπλάσια ἐπηγγείλατο. Κατέσχον ἐς Μίλητον, καὶ τειχῶν ἔξω προσωρμίσαντο. Καῖσαρ Ἐπικράτη Μιλήσιον οἰκέτῃ πέμπει πρὸς Μιλησίους, παρακαλῶν χρήματα ὑποδανεῖσαι· οἱ δὲ πολλὰ χρήματα ἔπεμψαν. Ἐπικράτης ἐντολὴν ἔχων παρὰ Καίσαρος, μετὰ τῶν χρημάτων πολυσκευὴν εὐωχίας μεγάλης κομίζειν, καὶ ὑδρείαν πλήρη ξιφῶν, καὶ οἶνον μανδραγόρᾳ κεκερασμένον. Καῖσαρ διπλᾶ τὰ λύτρα τοῖς λῃσταῖς ἀπαριθμήσας, παρέθηκεν αὐτοῖς τὴν εὐωχίαν· οἱ δὲ ὑπερχαίροντες τῷ πλήθει τῶν χρημάτων ὥρμησαν ἀνέδην εὐωχεῖσθαι· καὶ τὸν οἶνον πεφαρμακωμένον πιόντες ἀπεκοιμήθησαν. Καῖσαρ καθεύδοντας ἀνελεῖσθαι κελεύσας, παραυτίκα τοῖς Μιλησίοις ἀπέδωκε τὰ χρήματα.

ΚΕΦ. με'.

ΚΑῖσαρ ἐν Βρεττανίᾳ πόλεμον μέγαν ἐπεχείρει περαιοῦσθαι· Βασιλεὺς Βρεττανῶν Κασσίλαυνος

ἀνεῖργε

ἀνεῖργε μὴ πολλῶν ἱππέων, καὶ ἁρμάτων. Καίσαρι μέγιστος ἐλέφας εἵπετο, ζῶον Βρεττανοῖς ἄχ ἑωραμένον. Τοῦτον σιδηραῖς φολίσιν ὀχυρώσας, καὶ πύργον ἐπ' αὐτῷ μέγαν ὑψώσας, καὶ τοξότας καὶ σφενδονήτας ὁπισήσας, ἐκέλευσεν ἐς τὸ ῥεῦμα ἐμβαίνειν. Βρεττανοὶ δὲ ἐξεπλάγησαν, ἀοράτου καὶ ὑπερφυὲς θηρίον ἰδόντες. Περὶ γὰρ τῶν ἵππων τί χρὴ καὶ γράφειν; ὅπου καὶ παρ' Ἕλλησιν, ἦν καὶ γυμνὸν ἐλέφαντα ἴδωσιν, ἵπποι φεύγουσιν. Πυργοφόρον δὲ καὶ ὡπλισμένον, βέλη τε σφενδόνας ἐξαφίεντα, ὅθ' ἰδεῖν τὴν ὄψιν ὑπέμειναν. Βρεττανοὶ μὲν δὴ αὐτοῖς ἵπποις καὶ ἅρμασιν ἔφευγον· Ῥωμαῖοι δὲ ἀκινδύνως τὸν ποταμὸν διέβησαν, ἑνὶ ζώῳ τοὺς πολεμίους φοβήσαντες.

ΚΕΦ. μς'.

Καῖσαρ Πομπηίῳ παρετάσσετο περὶ Φάρσαλον. Ὁρῶν δὲ πολλοὺς τῶν πολεμίων νέους καὶ καλοὺς ἐπὶ τῷ κάλλει φρονοῦντας, τε σοβαρούς, παρήγγειλε τοῖς ἰδίοις στρατιώταις, τὰς λόγχας καὶ τοὺς ὑσσοὺς μὴ φέρειν ἐπὶ τὰ σώματα τῶν πολεμίων, ἀλλ' ἐς αὐτὰ τὰ πρόσωπα. Οἱ δὲ λωβηθῆναι τὸ κάλλος τῶν προσώπων φοβηθέντες, καὶ δὴ ἀποστραφέντες ἔφυγον.

ΚΕΦ. μζ'.

ΣΕΜΙΡΑΜΙΣ.

Σεμίραμις λεγομένη τ̃ Σιράκων ἦρξε τὴν ἀπόφασιν· καὶ παραυτίκα ἀνυπόδητος, μηδὲ τὰς τρίχας ἀναπλεξαμένη, ἐπὶ τὸν πόλεμον ἐξῆλθε. Τῇ δὲ στήλῃ αὐτῆς ἐπιγέγραπται τάδε·

"Ἐμὲ γυναῖκα μὲν ἡ Φύσις ἐποίησεν· ἐγὼ δὲ "τοῖς ἔργοις τῶν ἀγαθῶν ἀνδρῶν οὐδενὸς χείρων ἐ- "γενόμην. Ἐγὼ Νίνου βασιλεύσασα, πρὸς ἕω "μὲν ὥρισα ποταμὸν Ἰναμάμην· πρὸς δὲ μέσον "ἡλίου, τὴν Φέρσαν λιβανωτὸν καὶ σμύρναν· ἀπὸ "δὲ χειμῶνος, Σάκκας, καὶ Σόγδους. Θάλασσαν "πρότερον οὐδεὶς Ἀσσυρίων εἶδεν. Ἐγὼ δὲ τεσσά- "ρας, αἷς οὐκ ἔστιν —— πόρρω πελάσαι. Τίς "μοι αὐτὰς ὁρμὴ πρόσεχει; Ποταμοὺς ἠνάγκασα "ῥεῖν ὅπου βουλόμην· ἐβουλόμην δὲ ὅπου συνέφερε. "Γῆν ἄκαρπον ἐδίδαξα παρέσθαι· ποταμοῖς μοῦ "αὐτὴν ἔμιξα ἐμοῖς. Ἀνάλωτα τὰ τείχη πα- "ρέσχον. Πέτρας ἀβάτους σιδήρῳ κατειργασάμην· "ὁδοὺς ἑτέμον ἐμοῖς ὀχήμασιν, ἃς οὐδὲ θηρία δι- "ῆλθε. Καὶ τῶν ἔργων χρόνος μοι πρόσεστος ἐγέ- "νετο πολύς, ὃν ἐμαυτῇ καὶ φίλοις ἐχαρισάμην."

ΚΕΦ. μη'.

ΚΛΟΙΛΙΑ.

Ρωμαῖοι Τυῤῥηνοῖς πολεμοῦντες, ποιησάμενοι συνθήκας, ἔδωκαν αὐτοῖς ὁμήρους τῶν εὐγενεστάτων ἀνδρῶν θυγατέρας παρθένους. Αἱ δὲ ὁμηρεύουσαι προσῆλθον ἐπὶ τὸν ποταμὸν τὸν Θύμβριν λουσάμεναι· μία δὲ ἐξ αὐτῶν Κλοιλία, παρῆπεμψεν ἁπάσας ἀναδήσασθαι τὰς χιτωνίσκους περὶ τὰς κεφαλὰς, καὶ διανήξασθαι τὸ ῥεῦμα τοῦ ποταμοῦ, δίναις βαθείαις δυσπορον. Ἐπεὶ δὲ διενήξαντο, Ῥωμαῖοι τὴν μὲν ἀρετὴν αὐτῶν καὶ τὴν ἀνδρείαν ἐθαύμασαν, ἀντέπεμψαν δὲ αὐτὰς Τυῤῥηνοῖς, τὸ πιστὸν τῶν συνθηκῶν φυλάσσοντες. Πορσίνας βασιλεὺς Τυῤῥηνῶν ἀνέκρινε τὰς κόρας, τίς ἦν αὐτῶν ἡ τοῦτο πράξαι πείσασα. Κλοιλία προλαβοῦσα τὰς ἄλλας, ὡμολόγησε. Πορσίνας ὑπεραγαθεὶς τὸ ἀνδρεῖον τῆς κόρης, ἵππον αὐτῇ λαμπρῶς κεκοσμημένον ἐδωρήσατο, καὶ τὰς παρθένους πάσας ἐπαινέσας, Ῥωμαίοις ἀπέπεμψεν.

ΚΕΦ. μθ'.

ΠΟΡΚΙΑ.

Πορκία θυγάτηρ Κάτωνος, γυνὴ Βρούτου, τὸν ἄνδρα Βροῦτον ὑπονοοῦσα ἐπιβουλεύειν Καίσαρι, μαχαιρίῳ κρέως τὸν ἑαυτῆς μηρὸν ἀπέσχισεν, ἐπιδειχ-

ἀπιδεικνυμένη καρτερίαν σώματος, καὶ ψυχῆς ἐγκράτειαν. Τότε δὴ Βρᾶτος ἐπίστευσεν αὐτῇ τὸ ἀπόρρητον. Ἡ δὲ τὰς χιτωνίσκας αὐτῆς περισχόμισε τῷ ἀνδρὶ, καὶ τῶν χιτώνων ἔνδον τὸ ξίφος· περιελθὼν Βρᾶτος μετὰ τῶν κοινωνούντων ἀπιθέμενος κτεννύει Καίσαρα. Ἐπεὶ δὲ μετὰ Κασσίου παρετάξαμενος ἐν Μακεδονίᾳ πρὸς τὸ Σεβαστὸν, ἥττης γνομένης αὐτὸς ἑαυτὸν ἀνεῖλεν, Πορκία τὸ μὲν πρῶτον ἀπεκαρτερεῖν ἐπειρᾶτο· οἰκείων δὲ καὶ συγγενῶν οὐκ ἐώντων, ἐκάραν ἐκέλευσε κομισθῆναι πυρὸς, ὡς ἀλειφομένη· καὶ τῶν ἀνθράκων ἁρπάσασα πολλοὺς ταῖς χερσὶν ἐνέβαλεν εἰς τὸ στόμα, καὶ κατέπιεν φθάσασά τις πρίν τινα τῶν παρόντων βοηθῆσαι δύναμιν. Οὕτως ἐτελεύτησε Πορκία, στρατηγικὴ καὶ ἀνδρεία πρὸς θάνατον, καὶ φίλανδρος γνομένη.

ΚΕΦ. ν'.

ΑΡΓΟΛΙΔΕΣ.

Πύρρος Ἠπειρώτης ἐνέβαλεν εἰς Ἄργος, καλέσαντος αὐτὸν Ἀριστέως Ἀργείου. Οἱ μὲν Ἀργεῖοι συνέβαλον εἰς τὴν ἀγορὰν μετὰ τῶν ὅπλων· αἱ δὲ γυναῖκες αὐτῶν προκαταλαβόμεναι τὰ τέγη, τοὺς Ἠπειρώτας ἄνωθεν βάλλουσαι, ἀναχωρῆσαι βιάζονται· ὥστε καὶ Πύρρος ὁ δεινότατος τῶν στρατη-

τῶν αὐτὸς ἔπεσεν, ἐμπεσούσης ἐπὶ τὴν κεφαλὴν αὐτοῦ κεραμίδος. Αἱ δὲ Ἀργολίδες μέγιστον κλέος ἐν τοῖς Ἕλλησιν ἤραντο, Πύρρου τοῦ πολεμικωτάτου μηδὲ ὑπ' ἀνδρῶν, ἀλλ' ὑπὸ γυναικῶν Ἀργολίδων πεσόντος.

ΕΚ ΤΩΝ
ΑΡΙΣΤΟΤΕΛΟΥΣ
ΠΕΡΙ
ΡΗΤΟΡΙΚΗΣ.

ΚΕΦ. α'.
ΣΤΗΣΙΧΟΡΟΣ.

Στησίχορος μὲν, ἑλομένων τραπηγὸν Αὐτοκράτορα τῶν Ἱμεραίων Φάλαριν, καὶ μελλόντων φυλακὴν διδόναι τοῦ σώματος, τἄλλα διαλεχθεὶς, εἶπεν αὐτοῖς λόγον.

Ὡς ἵππος κατεῖχε λειμῶνα μόνος· ἐλθόντος δ' ἐλάφου, καὶ διαφθείροντος τὴν νομὴν, βουλόμενος τιμωρήσασθαι τὸν ἔλαφον, ἠρώτα τὸν ἄνθρωπον, εἰ δύναιτο μετ' αὐτοῦ κολάσαι τὸν ἔλαφον· ὁ δ' ἔφησεν, ἐὰν λάβῃ χαλινὸν, καὶ αὐτὸς ἀναβῇ ἐπ' αὐτὸν ἔχων ἀκόντια. Συνομολογήσαντος δὲ, καὶ ἀναβάντος, ἀντὶ τοῦ τιμωρήσασθαι, αὐτὸς ἐδούλευσεν ἤδη τῷ ἀνθρώπῳ.

Οὕτω δὲ καὶ ὑμεῖς, ἔφη, ὁρᾶτε, μὴ τοῦ πολεμίους βουλόμενοι τιμωρήσασθαι, ταὐτὸ πάθητε τῷ ἵππῳ. Τὸν μὲν γὰρ χαλινὸν ἤδη ἔχετε, ἑλόμενοι στρατηγὸν Αὐτοκράτορα· ἐὰν δὲ φυλακὴν δῷτε, καὶ ἀναβῆναι ἐάσητε, δουλεύσετε ἤδη φαλάριδι.

ΚΕΦ. β'.

ΑΙΣΩΠΟΣ.

Αἴσωπος ἐν Σάμῳ συνηγορῶν Δημαγωγῷ κρινομένῳ περὶ θανάτου, ἔφη· Ἀλώπεκα διαβαίνουσαν ποταμὸν ἀπωσθῆναι εἰς φάραγγα· οὐ δυναμένην δὲ ἐκβῆναι, πολὺν χρόνον κακοπαθεῖν, καὶ κυνοραϊστὰς πολλοὺς ἔχεσθαι αὐτῆς· Ἐχῖνον δὲ πλανώμενον, ὡς εἶδεν αὐτὴν, κατοικτείραντα ἐρωτᾶν, εἰ ἀφέλοι αὐτῆς τοῦ κυνοραϊστάς· τὴν δὲ οὐκ ἐᾷν· Ἐρομένου δὲ, διὰ τί, φάναι ὅτι οὗτοι μὲν πλήρεις μου ἤδη εἰσὶ, καὶ ὀλίγον ἕλκουσιν αἷμα· ἐὰν δὲ τούτους ἀφέλῃ, ἕτεροι ἐλθόντες πεινῶντες, ἐκπιοῦνται μου τὸ λοιπὸν αἷμα.

Ἀτὰρ οὖν καὶ ὑμᾶς, ἔφη, ὦ ἄνδρες Σάμιοι, οὗτος μὲν οὐδὲν ἔτι βλάπτει. Πλούσιος γὰρ ἐστίν. Ἐὰν δὲ τοῦτον ἀποκτείνητε, ἕτεροι ἥξουσι πένητες, οἱ ὑμῖν ἀναλώσουσι τὰ κοινὰ κλέπτοντες.

ΕΚ ΤΩΝ

ΔΙΟΝΥΣΙΟΥ ΑΛΙΚΑΡΝ.

ΙΣΤΟΡΙΩΝ.

ΚΕΦ. γ'.

ΜΕΝΕΝΙΟΣ ΑΓΡΙΠΠΑΣ.

"ΕΟΙΚΕ πως ἀνθρωπείῳ σώματι πόλις· "Σύνθετον γὰρ καὶ ἐκ πολλῶν μερῶν ἐστιν ἑκά- "τερον· καὶ ὅτε δύναμιν ἔχει ἕκαστον τὴν αὐτὴν τῶν ἐν "αὐτοῖς μερῶν, ὅτε χρείας παρέχεται τὰς ἴσας. Εἰ "δὴ λάβοι τὰ μέρη τοῦ ἀνθρωπείου σώματος ἰδίαν "αἴσθησιν καθ' αὑτὰ καὶ φωνὴν, ἔπειτα φαίης ἐν "αὐτοῖς ἐμπέσοι καθ' ἓν γενόμενοις τοῖς ἄλλοις "ἅπασι πρὸς τὴν γαστέρα μόνην, καὶ λέγοιεν οἱ μὲν "πόδες, ὅτι πᾶν ἐπ' αὐτοῖς τὸ σῶμα ἐπίκειται· "αἱ δὲ χεῖρες, ὅτι τὰς τέχνας ἐργάζονται, καὶ τὰ "πρὸς πόλεμον ἐκπορίζουσι, καὶ μάχονται πολεμίοις, καὶ "ἄλλα πολλὰ ὠφελήματα παρέχουσιν εἰς τὸ κοι- "νόν· οἱ δὲ ὦμοι, ὅτι τὰ ἄχθη πάντα ἐπ' αὐτοῖς "κομίζεται· τὸ δὲ στόμα, ὅτι φθέγγεται· ἡ δὲ κε-

"φαλὴ,

" φαλὴ, ὅτι καὶ ὁρᾷ καὶ ἀκούει, καὶ τὰς ἄλλας αἰσ-
" θήσεις περιλαβοῦσα πάσας ἔσχε, δι' ὧν σώζεται
" τὸ πρᾶγμα· ἔπειτα φαῖεν πρὸς τὴν γαστέρα, σὺ
" δὲ, ὦ χρηστὴ, τί τούτων ποιεῖς; ἢ τίς ἐστιν ἡ σὴ
" χάρις ἡμῖν καὶ ὠφέλεια; Ἀλλὰ σύ γε τοσοῦτον
" ἀπέχεις τοῦ πράττειν καὶ συνκατορθοῦν ἡμῖν τῶν
" κοινῇ χρησίμων, ὥστε καὶ ἀντιπράττεις καὶ ἐν-
" οχλεῖς· καὶ πράγμα ἀφόρητον ὑπηρετεῖν ἀναγ-
" κάζουσα, καὶ φέρειν ἁπανταχόθεν εἰς τὴν ἐκ-
" πλήρωσιν τῶν σεαυτῆς ἐπιθυμιῶν. Φέρε, τί
" οὐ μεταποιούμεθα τῆς ἐλευθερίας, καὶ τῶν πολ-
" λῶν ἀφιέμεθα πραγματειῶν, ἃς ἕνεκα ταύτης
" ὑπομένομεν; εἰ δὴ ταῦτα δόξειεν αὐτοῖς, καὶ
" μηδὲν ἔτι δρῴη τὸ ἑαυτοῦ ἔργον, ἐσθ' ὅπως ἂν
" ἐπὶ πολὺ διαρκέσαι δυνηθείη τὸ σῶμα, ἀλλ'
" οὐκ ἂν ἐντὸς ὀλίγων ἡμερῶν τῷ κακίστῳ τῶν
" μόρων ἀναλωθείη λιμῷ; Οὐκ ἂν ἔχοι ἄλλως
" τὶς εἰπεῖν.

" Τὸν αὐτὸν δὴ τρόπον ὑπολάβετε καὶ περὶ τῆς
" πόλεως· Πολλὰ γὰρ δὴ καὶ ταύτην τὰ συμπλη-
" ροῦντα ἔθνη, καὶ οὐδὲν ἀλλήλοις ἐοικότα· ὧν ἕ-
" καστον ἰδίαν τινὰ τῷ κοινῷ χρείαν, ὥσπερ τὰ
" μέλη τῷ σώματι, παρέχεται. Οἱ μὲν γὰρ τοὺς
" ἀγροὺς γεωργοῦσιν, οἱ δὲ μάχονται περὶ αὐτῶν
" πρὸς τοὺς πολεμίους, οἱ δὲ ἐμπορεύονται πολλὰς
" διὰ θαλάσσης ὠφελείας, οἱ δὲ τὰς ἀναγκαίας
" ἐργάζονται τέχνας. Εἰ δὲ ταῦτα πάντα τὰ
" ἔθνη πρὸς τὴν Βουλὴν τὴν ἐκ τῶν ἀρίστων συγ-
" κειμένην

" κειμένην διαστασιάσειε, καὶ λέγοι· Σὺ δὲ ἡμῖν,
" ὦ βουλη, τί ποιεῖς ἀγαθόν; καὶ ἀντὶ ποίας
" αἰτίας ἄρχειν τῶν ἄλλων ἀξιοῖς; Οὐδὲν γὰρ ἂν
" εἰπεῖν ἔχοις· ἔπειτα οὐκ ἀπαλλαγησόμεθά σου
" τῆς τυραννίδος ταύτης ἤδη ποτὲ, καὶ δίχα ἡγε-
" μόνος οἰκήσομεν; Εἰ δὴ ταῦτα διανοηθέντες, τῶν
" συνήθων ἐπιτηδευμάτων ἀποσταῖεν, τί κωλύσει
" ταύτην κακὴν κακῶς ἀπολέσθαι τὴν πόλιν, ὑπὸ
" λιμοῦ τε καὶ πολέμου, καὶ παντὸς ἄλλου κα-
" κοῦ;

" Μαθόντες οὖν, ὦ δημόται, ὅτι καθάπερ ἐν
" τοῖς σώμασιν ἡμῶν ἡ λοιδορουμένη κακῶς ὑπὸ τῶν
" πολλῶν τρέφει τὸ σῶμα τρεφομένη, καὶ σώζει
" σωζομένη, καὶ ἔστιν ὡσεί τις ἑστίασις κοινὴ, τὸ προ-
" σφόρον ἁπάντων, καὶ τῆς διαλλαγῆς αἴτιον ἀποδι-
" δοῦσα· οὕτως ἐν ταῖς πόλεσιν ἡ διοικοῦσα τὰ κοι-
" νὰ, καὶ οὗτος προσήκοντος ἑκάστῳ προνοουμένη βουλὴ,
" πάντα σώζει καὶ φυλάττει καὶ ἐπανορθοῖ· παύσα-
" σθε τὰς ἐπιθόνους κατ' αὐτῆς φωνὰς λέγοντες,
" ὡς ἐξεβλήθητε τῆς πατρίδος, ὡς ἀλῆται καὶ πτωχοὶ
" περιέρχεσθε δι' αὐτήν. Οὐδὲν γὰρ ὑμᾶς εἴργασται
" κακὸν, οὐδ' ἂν ἐργάσαιτο· ἀλλ' αὐτὴ καλεῖ καὶ
" ἀντιβολεῖ, καὶ τὰς χεῖρας ὑμῖν ἅμα ταῖς πύλαις
" ἀναπετάσασα, ὑποδέχεται."

ΕΚ ΤΩΝ

ΜΑΞΙΜΟΥ ΤΥΡΙΟΥ

ΛΟΓΩΝ.

ΚΕΦ. δ'.

Χαλεπὸν εὑρεῖν ἀκριβῆ βίον, ὥσπερ καὶ ἄνδρα· ἀλλὰ παντὶ ἀνακέκραται ἔνδειά τις πρὸς τὸ ἄκρως καλὸν, καὶ πλεονεκτεῖ ἕτερος ἑτέρου, ὅτῳ ἂν ἐλάττω τὰ ἐνδέοντα ᾖ. Καὶ ἴδοις ἂν τὸν μὲν γεωργικὸν, μακαρίζοντα τοὺς ἀστικοὺς, ὡς συνόντας βίῳ χαρίεντι καὶ ἀνθηρῷ· τοὺς δὲ ἀπὸ τῶν Ἐκκλησιῶν καὶ τῶν δικαστηρίων καὶ τοὺς πάνυ ἐν αὐτοῖς εὐδοκίμους, ὀδυρομένους τὰ αὑτῶν, καὶ εὐχομένους ἐπὶ σκαπάνῃ βιῶναι καὶ γηδίῳ σμικρῷ. Ἀκούσῃ δὲ τοῦ μὲν στρατιωτικοῦ τὸν εἰρηνικὸν εὐδαιμονίζοντος, τοῦ δὲ ἐν εἰρήνῃ, τὸν στρατιωτικὸν τεθηπότος. Καὶ εἴ τις θεῶν, ὥσπερ ἐν δράματι ὑποκριτὰς, ἀποδύσας ἕκαστον τοῦ παρόντος βίου καὶ σχήματος μεταμφιέσει τὰ τοῦ πλησίον, αὖθις οἱ αὐτοὶ ἐκεῖνοι ποθήσουσι μὲν τὰ πρότερα, ὀδυροῦνται δὲ τὰ παρόντα. Οὕτω δυσάρεστόν τι ἐστὶν ὁ

ἄνθρωπος

ἄνθρωπος κομιδῆ καὶ φιλαίτιον, καὶ δεινῶς δύσκολον, καὶ οὐδὲν τοῦ αὐτοῦ ἀσπάζεται.

ΚΕΦ. ε'.

ΠΟΘΕΝ ΤΑ ΚΑΚΑ.

ΤΙΝΕΣ αἱ τῶν κακῶν πηγαὶ, ἢ γενέσεις; πόθεν ἀρξάμενα ἔρχεται; Ἐξ Αἰθιόπων, ὡς ὁ λοιμός; ἐκ Βαβυλῶνος, ὡς ὁ Ξέρξης; ἐκ Μακεδονίας, ὡς Φίλιππος; οὐ γὰρ ἐξ οὐρανοῦ μὰ Δία, οὐκ ἐξ οὐρανοῦ. Φθόνος γὰρ ἔξωθεν τοῦ Θείου χοροῦ ἵσταται. Ἐνταῦθά μοι δεῖ χρησμῳδίας. Ἐρώμεθα τοὺς Θεούς· Ζεῦ καὶ Ἄπολλον, καὶ ὅστις ἄλλος Θεὸς μαντικὸς, καὶ κηδεμὼν τῆς τῶν ἀνθρώπων ἀγέλης, δεομένοις εἴπατε, τίς κακῶν ἀρχὴ, τίς αἰτία, πῶς φυλαξώμεθα, πῶς λάθωμεν·

Οὐ γάρ τις νέμεσις φυγέειν κακὸν, οὐδ' ὑπανύξαι.

Ἢ οὐχ ὁρᾶτε ὅσα τὰ δεινὰ ἐς τὰς ἀνθρωπίνας κῆρας ἐμπεπτωκότα περὶ γῆν στρέφεται, παντοίων στόνων καὶ ὀδυρμῶν ἐμπιπλάντα τὴν γῆν; Στένει μὲν τὸ τοῦ ἀνθρώπου σῶμα, τὰς ἐπιτετειχισμένας αὐτῷ νόσους ὀδυρόμενον, καὶ τὸ ἀκροσφαλὲς τῆς σωτηρίας, καὶ τὸ ἄδηλον τοῦ βίου. Τίς γὰρ ἡλικίας καιρὸς ἀνυπεύθυνος ἀνθρωπίνῳ σωματι;

ΕΚ ΤΩΝ

ΠΛΑΤΩΝΟΣ

ΔΙΑΛΟΓΩΝ.

ΚΕΦ. ς'.

ΦΑΙΔΩΝ, ἢ περὶ ψυχῆς.

ΑΛΛΑ τόδ', ἔφη, ὦ ἄνδρες, δίκαιον διανοηθῆναι, ὅτι εἴπερ ἡ ψυχὴ ἀθάνατός ἐστιν, ἐπιμελείας δὴ δεῖται, οὐχ ὑπὲρ τοῦ χρόνου τούτου μόνον ἐν ᾧ καλοῦμεν τὸ ζῆν, ἀλλ' ὑπὲρ τοῦ παντός· καὶ ὁ κίνδυνος νῦν δὴ δόξειεν ἂν μάλιστα δεινὸς εἶναι, εἴ τις αὐτῆς ἀμελήσειεν. Εἰ μὲν γὰρ ἦν ὁ θάνατος τοῦ παντὸς ἀπαλλαγή, ἔρμαιον ἂν ἦν τοῖς κακοῖς ἀποθανοῦσι, τοῦ τε σώματος ἅμα ἀπηλλάχθαι, καὶ τῶν αὐτῶν κακίας, μετὰ τῆς ψυχῆς· νυνὶ δὲ ἐπειδὴ ἀθάνατος φαίνεται οὖσα, ἀδεμία ἂν εἴη αὐτῇ ἄλλη ἀποφυγὴ κακῶν, οὐδὲ σωτηρία, πλὴν τοῦ ὡς βελτίστην τε καὶ φρονιμωτάτην γενέσθαι. Οὐδὲν γὰρ ἄλλο ἔχουσα εἰς ᾅδου ἡ ψυχὴ ἔρχεται, πλὴν τοῦ παιδείας

δείας τε καὶ τροφῆς· ἃ δὴ καὶ λέγεται μέγιστα ὠφελεῖν ἢ βλάπτειν τὰ τελευτήσαντα εὐθὺς ἐν ἀρχῇ τῆς ἐκείσε πορείας.

ΚΕΦ. ζ'.

Περὶ τῶν τετελευτηκότων ἐν ᾅδου.

Τούτων δὲ ὕτω πεφυκότων, ἐπειδὰν ἀφίκωνται οἱ τετελευτηκότες εἰς τὸν τόπον, οὗ ὁ δαίμων ἕκαστον κομίζει, πρῶτον μὲν διεδικάσαντο οἵ τε καλῶς καὶ ὁσίως βιώσαντες, καὶ οἱ μή. Καὶ οἳ μὲν ἂν δόξωσι μέσως βεβιωκέναι, πορευθέντες ἐπὶ τὸν Ἀχέροντα, ἀναβάντες ἃ δὴ αὐτοῖς ὀχήματά ἐστιν, ἐπὶ τούτων ἀφικνοῦνται εἰς τὴν λίμνην· καὶ ἐκεῖ οἰκοῦσί τε, καὶ καθαιρόμενοι, τῶν τε ἀδικημάτων διδόντες δίκας, ἀπολύονται, εἴ τις τι ἠδίκησε· τῶν τε εὐεργεσιῶν τιμὰς φέρονται κατὰ τὴν ἀξίαν ἕκαστος· οἳ δ' ἂν δόξωσιν ἀνιάτως ἔχειν, διὰ τὰ μεγέθη τῶν ἁμαρτημάτων, ἢ ἱεροσυλίας πολλὰς καὶ μεγάλας, ἢ φόνους ἀδίκους καὶ παρανόμους πολλοὺς ἐξειργασμένοι, ἢ ἄλλα ὅσα τυγχάνει ὄντα τοιαῦτα, τούτους δὲ ἡ προσήκουσα Μοῖρα ῥίπτει εἰς τὸν Τάρταρον, ὅθεν ὅποτε ἐκβαίνουσιν.

Οἳ δ' ἂν ἰάσιμα μὲν, μεγάλα δὲ δόξωσιν ἡμαρτηκέναι ἁμαρτήματα, οἷον πρὸς πατέρα ἢ μητέρα ὑπ' ὀργῆς βίαιόν τι πράξαντες, καὶ μεταμέλον αὐτοῖς τὸν ἄλλον βίον βιῶσιν, ἢ ἀνδροφόνοι τοιούτῳ τινὶ ἄλλῳ τρόπῳ γένωνται, τούτους δὴ ἐμπεσεῖν μὲν

εἰς τ̃ Τάρταρον ἀνάγκη· ἐμπεσόνλας δὲ αὐτοὺς, ☾ ἐνιαυτὸν ἐκεῖ γλυομένους, ἐκβάλλει τὸ κῦμα· τοὺς μὲν ἀνδροφόνους, κατὰ τ̃ Κωκυτόν· σὺν· ἢ πατραλοίας ϗ μητραλοίας, κατὰ τ̃ Πυριφλεγέθονλα. Ἐπειδὰν δὲ φερόμλοι γένωνλαι κατὰ τ̃ λίμνην τ̃ Ἀχερουσίδα, ἐνταῦθα βοῶσί τε ϗ καλοῦσιν, οἱ μὲν οὓς ἀπέκτειναν, οἱ δὲ, οὓς ὕβρισαν. Καλέσαντες δ' ἱκετεύουσι, ϗ δέονται ἐᾶσαι σφᾶς ἐκβῆναι εἰς τ̃ λίμνην, ☾ δέξαλθαι. Καὶ ἐὰν μὲν πείσωσιν, ἀποβαίνουσί τε ☾ λήγουσι τῶν κακῶν· εἰ δὲ μὴ, φέρονλαι αὖθις εἰς τ̃ Τάρταρον, ϗ ἐκεῖθεν πάλιν εἰς σὺν ποταμούς. Καὶ ταῦτα πάσχονλες ἃ πρότερον παύονλαι, πρὶν ἂν πείσωσιν οὓς ἠδίκησαν. Αὕτη γὰρ ἡ δίκη ὑπὸ τῶν δικαστῶν αὐτοῖς ἐτάχθη.

Οἱ δὲ δὴ ἂν δόξωσι διαφερόνλως πρὸς τὸ ὁσίως βιῶναι, ἅτοί εἰσιν οἱ τῶνδε μὲν τῶν τόπων τῶν ἐν τῇ γῇ ἐλευθερούμενοί τε ϗ ἀπαλλαττόμενοι, ὥσπερ δεσμωτηρίων, ἄνω δὲ εἰς τ̃ καθαρὰν οἴκησιν ἀφικνούμλοι, ϗ ἐπὶ γῆς οἰκιζόμλοι. Τούτων δὲ αὐτῶν οἱ φιλοσοφίᾳ ἱκανῶς καθηράμενοι, ἄνευ τε σωμάτων ζῶσι τοπαράπαν εἰς τὸν ἔπειτα χρόνον, ϗ εἰς οἰκήσεις ἔτι τούτων καλλίους ἀφικνοῦνται· ἃς ἅτε ῥᾴδιον δηλῶσαι, ἅτε ὁ χρόνος ἱκανὸς ἐν τῷ παρόνλι.

Ἀλλὰ τούτων δὴ ἕνεκα χρὴ ὧν διεληλύθαμεν, ὦ Σιμμία, πάντα ποιεῖν, ὥστε ἀρετῆς ϗ φρονήσεως ἐν τῷ βίῳ μεταχεῖν. Καλὸν γὰρ τὸ ἆθλον, ϗ ἡ ἐλπὶς μεγάλη.

ΚΕΦ.

ΚΕΦ. ιθ'.

Τελευτὴ τοῦ Σωκράτους βίου, ἣν οὔποτε ἀδακρυτὶ ἀνεγίνωσκων ὁ Κικέρων.

ΤΑΥΤ' εἰπὼν, ἐκεῖνος μὲν ἀνίστατο εἰς οἴκημά τι ὡς λουσόμενος, καὶ ὁ Κρίτων εἵπετο αὐτῷ· ἡμᾶς δ' ἐκέλευε περιμένειν. Περιμένομεν οὖν, πρὸς ἡμᾶς αὐτοὺς διαλεγόμενοι περὶ τῶν εἰρημένων, καὶ ἀνασκοποῦντες· τότε δ' αὖ περὶ τῆς συμφορᾶς διεξιόντες, ὅση ἡμῖν γεγονυῖα εἴη, ἀτεχνῶς ἡγούμενοι, ὥσπερ πατρὸς στερηθέντες, διάξειν ὀρφανοὶ τὸν ἔπειτα βίον. Ἐπειδὴ δ' ἐλούσατο, καὶ ἠνέχθη παρ' αὐτὸν τὰ παιδία (δύο γὰρ αὐτῷ υἱεῖς σμικροὶ ἦσαν, εἷς δὲ μέγας) καὶ οἱ οἰκεῖαι γυναῖκες ἀφίκοντο, ἐκείναις ἐναντίον τοῦ Κρίτωνος διαλεχθείς τε καὶ ἐπιστείλας ἅττα ἐβούλετο, τὰς μὲν γυναῖκας, καὶ τὰ παιδία ἀπίεναι ἐκέλευσεν, αὐτὸς δ' ἧκε παρ' ἡμᾶς. Καὶ ἦν ἤδη ἐγγὺς ἡλίου δυσμῶν. Χρόνον γὰρ πολὺν διέτριψεν ἔνδον. Ἐλθὼν δ' ἐκαθέζετο λελουμένος· καὶ οὐ πολλὰ ἅττα μετὰ ταῦτα διελέχθη. Καὶ ἧκεν ὁ τῶν ἕνδεκα ὑπηρέτης, καὶ στὰς παρ' αὐτὸν,

"Ὦ Σώκρατες, ἔφη, οὐ καταγνώσομαι γέ σου, "ὅπερ ἄλλων καταγινώσκω, ὅτι μοι χαλεπαίνουσι "καὶ καταρῶνται, ἐπειδὰν αὐτοῖς παραγγέλλω πί- "νειν τὸ φάρμακον, ἀναγκαζόντων τῶν ἀρχόντων. "Σὲ δ' ἐγὼ καὶ ἄλλως ἔγνωκα ἐν τούτῳ χρόνῳ "γενναιό-

" γμναιότατον κ) ωραότατον κ) ἄριστον ἄνδρα ὄντα
" τ ωώποτε δεῦρο ἀφικομμένων. Καὶ δὴ καὶ νῦν
" εὖ οἶδ' ὅτι σὺκ ἐμοὶ χαλεπαίνεις, (γινώσκεις γὰρ
" σὺ αἰτίας) ἀλλὰ ἐκείνοις. Νῦν οὖν, οἶσθα γὰρ
" ἃ ἦλθον ἀγγελῶν, χαῖρέ τε κ) πειρῶ ὡς ῥᾴστα
" φέρειν τὰ ἀναγκαῖα." Καὶ ἅμα δακρύσας, με-
ταστρέφόμενος ἀπῄει. Καὶ ὁ Σωκράτης, ἀναβλέψας
πρὸς αὐτον, " Καὶ σὺ, ἔφη, χαῖρε, κ) ἡμεῖς ταῦτα
" ποιήσομμεν· κ) ἅμα πρὸς ἡμᾶς, ὡς ἀγαθὸς, ἔφη,
" ὁ ἄνθρωπος; κ) πάλαι πάντα μοι τ χρόνον προ-
" σῆει, κ) διελέγετο ἐνίοτε, κ) ἦν ἀνδρῶν λῷστος·
" κ) νῦν ὡς γενναίως με ἀποδακρύει; ἀλλά γε
" δὴ, ὦ Κρίτων, πειθώμεθα αὐτῷ, καὶ ἐνεγκάτω
" τὶς τὸ φάρμακον, εἰ τέτριπται· εἰ δὲ μὴ, τρι-
" ψάτω ὁ ἄνθρωπος.

" Καὶ ὁ Κρίτων, ἀλλ' οἶμαι, ἔφη, ἔγωγε, ὦ
" Σώκρατες, ἔτι ἥλιον εἶναι ἐν τοῖς ὄρεσι, κ) οὔπω
" δεδυκέναι. Καὶ ἅμα ἐγὼ οἶδα καὶ ἄλλους πάνυ
" ὀψὲ πίνοντας, ἐπειδὰν παραγγελθῇ αὐτοῖς, δειπ-
" νήσαντάς τε κ) πόντας εὖ μάλα, κ) συγγενο-
" μένους γ' ἐνίους ὧν ἂν τύχωσιν ἐπιθυμοῦντες.
" Ἀλλὰ μηδὲν ἐπείγου· ἔτι γὰρ ἐγχωρεῖ. Καὶ ὁ
" Σωκράτης, Εἰκότως γ' ἔφη, ὦ Κρίτων, ἐκεῖνοί τε
" ταῦτα ποιοῦσιν, ἃ σὺ λέγεις· οἴονται γὰρ κερ-
" δανεῖν, ταῦτα ποιήσαντες· κ) ἔγωγε εἰκότως
" ταῦτα οὐ ποιήσω. Οὐδὲν γὰρ οἶμαι κερδαίνειν,
" ὀλίγον ὕστερον πιὼν, ἄλλο γε ἢ γέλωτα ὀφλή-
" σειν παρ' ἐμαυτῷ, γλιχόμενος τοῦ ζῆν, κ φειδό-

" μεν-

" μενος ὀδενὸς ἔτι ἐνοντ@. Ἀλλ' ἴθι, ἔφη, πείθ-
" ῃ μὴ ἄλλως ποίει.

Καὶ ὁ Κρίτων ἀκούσας ἔνευσε τῷ παιδὶ πλη-
σίον ἑστῶτι. Καὶ ὁ παῖς ἐξελθὼν, καὶ συχνὸν χρό-
νον διατρίψας, ἦκεν ἄγων τὸν μέλλοντα δώσειν τὸ
φάρμακον, ἐν κύλικι φέροντα τετριμμένον. Ἰδὼν
δ' ὁ Σωκράτης τὸν ἄνθρωπον, εἶεν, ἔφη, ὦ βέλτι-
στε· σὺ γὰρ τούτων ἐπιστήμων τί χρὴ ποιεῖν;
" Οὐδὲν ἄλλο, ἔφη, ἢ πιόντα περιιέναι, ἕως ἂν
" σοι βάρος ἐν τοῖς σκέλεσι γένηται· ἔπειτα κλα-
" κεῖναι· καὶ οὕτως αὐτὸ ποιήσεις." Καὶ ἅμα
ὤρεξε τὴν κύλικα τῷ Σωκράτει· καὶ ὃς λαβὼν, &
μάλα ἵλεως, ὦ Ἐχέκρατες, οὐδεν τρέσας, οὐδὲ
διαφθείρας ὅτε τοῦ χρώματος, ὅτε τὸ προσώπου,
ἀλλ' ὥσπερ εἰώθει, ταυρηδὸν ὑποβλέψας πρὸς τὸν
ἄνθρωπον,

" Τί λέγεις, ἔφη, περὶ τοῦδε τοῦ ποτοῦ, πρὸς
" τὸ λοπαστέον τινί; ἔξεστιν, ἢ οὔ; Τοσοῦτον, ἔφη,
" ὦ Σώκρατες, τρίβομεν, ὅσον οἰόμεθα μέτρον
" εἶναι πιεῖν. Μανθάνω, ἦ δ' ὅς· ἀλλ' εὐχεσθαι
" γέ που τοῖς θεοῖς ἔξεστί τε & χρὴ, τὴν μετοίκη-
" σιν τὴν ἐνθένδε ἐκεῖσε εὐτυχῆ γενέσθαι· ἃ δὴ κ
" ἐγὼ εὔχομαί τε, καὶ γένοιτο ταύτη." Καὶ ἅμα
εἰπὼν ταῦτα, ἁπτόμενος καὶ μάλα εὐχερῶς καὶ
εὐκόλως ἐξέπιε. Καὶ ἡμῶν οἱ πολλοὶ τέως μὲν
ἁπτικῶς οἷοί τε ἦσαν κατέχειν τὸ μὴ δακρύειν· ὡς
δὲ εἴδομεν πιόντά τε καὶ πεπωκότα, οὐκέτι ἀλλ' ἐμοῦ
γε βία, & αὐτοῦ ἀσυκτὶ ἐχώρει τὰ δάκρυα· ὥστε

ἐγκα-

ἐγκαλυψάμενος ἀπέκλαιον ἐμαυτόν. Οὐ γὰρ δὴ ἐκεῖνον γε, ἀλλὰ τὴν ἐμαυτοῦ τύχην, οἵῳ ἀνδρὸς ἑταίρῳ ἐστερημένος εἴην. Ὁ δὴ Κρίτων ἔτι πρότερος ἐμοῦ, ἐπειδὴ οὐχ οἷός τ' ἦν κατέχειν τὰ δάκρυα, ἐξανέστη· Ἀπολλόδωρος δὴ καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ οὐδὲν ἐπαύετο δακρύων, καὶ δὴ καὶ τότε ἀναβρυχησάμενος, κλαίων καὶ ἀγανακτῶν, οὐδένα ὄντινα οὐ κατέκλαυσε τῶν παρόντων, πλὴν γε αὐτοῦ Σωκράτους. "Ἐκεῖνος δέ, Οἷα, ἔφη, ποιεῖτε, ὦ θαυ-"μάσιοι; ἐγὼ μέντοι οὐχ ἥκιστα τούτου ἕνεκα τὰς "γυναῖκας ἀπέπεμψα, ἵνα μὴ τοιαῦτα πλημ-"μελοῖεν. Καὶ γὰρ ἀκήκοα, ὅτι ἐν εὐφημίᾳ χρὴ "τελευτᾶν. Ἀλλ' ἡσυχίαν τε ἄγετε καὶ καρτε-"ρεῖτε."

Καὶ ἡμεῖς ἀκούσαντες ἠισχύνθημέν τε καὶ ἐπέσχομεν αὐτοὺς δακρύειν. Ὁ δὲ περιελθὼν, ἐπειδὴ οἱ βαρύνεσθαι ἔφη τὸ σκέλη, κατεκλίθη ὕπτιος. Οὕτω γὰρ ἐκέλευσεν ὁ ἄνθρωπος· καὶ ἅμα ἐφαπτόμενος αὐτοῦ ὅτος ὁ δὴ τὸ φάρμακον, μικρὸν ἀπολιπὼν χρόνον, ἐπεσκόπει τοὺς πόδας καὶ τὰ σκέλη. Κἄπειτα σφόδρα πιέσας αὐτοῦ τὸν πόδα, ἤρετο εἰ αἰσθάνοιτο· ὁ δὲ οὐκ ἔφη· Εἶτα μετὰ τοῦτο αὖθις τὰς κνήμας, καὶ ἐπανιὼν ὅτως ἡμῖν ἐπεδείκνυτο, ὅτι ψύχοιτό τε καὶ ἐπήγνυτο. Καὶ αὐτὸς ἥπτετο, καὶ εἶπεν, ὅτι ἐπειδὰν πρὸς τῇ καρδίᾳ γένηται αὐτῷ, τότε οἰχήσεται. Ἤδη οὖν σχεδόν τι αὐτοῦ ἦν τὰ περὶ τὸ ἦτρον ψυχόμενα· καὶ ἐκκαλυψάμενος (ἐνεκεκάλυπτο γάρ) εἶπεν, ἃ δὴ τελευταῖον. "Ὦ Κρίτων, ἔφη, τῷ "Ἀσκληπιῷ

"Ἀσκληπιῷ ὀφείλομεν ἀλεκτρύονα. Ἀλλὰ ἀπό-
"δοτε, καὶ μὴ ἀμελήσητε." Ἀλλὰ ταῦτα ἔσται,
ἔφη ὁ Κρίτων. Ἀλλ' ὅρα, εἴπι ἄλλο λέγεις. Ταῦ-
τα ἐρομένῳ αὐτῷ, ὐδὲ ἔτι ἀπεκρίνατο· ἀλλ' ὀλίγον
χρόνον διαλιπών, ἐκινήθη τε, καὶ ὁ ἄνθρωπος
ἐξεκάλυψεν αὐτόν· καὶ ὃς τὰ ὄμματα ἔστησεν.
Ἰδὼν ὁ Κρίτων, συνέλαβε τὸ στόμα τε καὶ τοὺ
ὀφθαλμώς. Ἦδε ἡ τελευτὴ, ὦ Ἐχέκρατες, τοῦ
ἑταίρου ἡμῖν ἐγένετο, ἀνδρὸς, ὡς ἡμεῖς φαῖμεν ἂν
τῶν τότε ὄντων ἐπειράθημεν ἀρίστου καὶ ἄλλως φρονιμω-
τάτου καὶ δικαιοτάτου.

ΕΚ ΤΩΝ

ΗΡΟΔΟΤΟΥ ΑΛΙΚΑΡΝ.

ΙΣΤΟΡΙΩΝ.

ΚΕΦ. α'.

ΚΡΟΙΣΟΣ.

ΞΕΙΝΕ Ἀθηναῖε, παρ' ἡμέας γὰρ περὶ σέο λόγος ἀπῖκται πολλὸς, καὶ σοφίης εἵνεκεν τ῀ς σῆς καὶ πλάνης, ὡς φιλοσοφέων, τῆς πολλῆς θεωρίης εἵνεκεν ἐπελήλυθας· νῦν ὦν ἵμερος ἐπείρεσθαί με ἐπῆλθέ σε, εἴ τινα ἤδη πάντων εἶδες ὀλβιώτατον. Ὁ μὲν, ἐλπίζων εἶναι ἀνθρώπων ὀλβιώτατος, ταῦτα ἐπηρώτα· Σόλων δ', οὐδὲν ὑποθωπεύσας, ἀλλὰ τῷ ἐόντι χρησάμενος, λέγει· Ὦ βασιλεῦ, Τέλλον Ἀθηναῖον. Ἀποθωυμάσας δὲ Κροῖσος τὸ λεχθὲν, εἴρετο ὁπισρεφέως, Κοίῃ δὴ κρίνεις Τέλλον εἶναι ὀλβιώτατον; Ὁ δὲ εἶπε, Τέλλῳ τέτῳ μὲν, τ῀ πόλιος εὖ ἡκούσης, παῖδες ἦσαν καλοί τε καὶ ἀγαθοὶ, καί σφι εἶδε ἅπασι τέκνα ἐκγεγόμενα, καὶ πάντα

ταῦτα

παραμείναντα. Ἐς τοῦτο δὲ τοῦ βίου εὖ ἥκοντι, ὡς τὰ παρ' ἡμῖν, τελευτὴ τοῦ βίου λαμπροτάτη ἐπεγένετο. Γενομένης γὰρ Ἀθηναίοισι μάχης πρὸς τοὺς ἀστυγείτονας ἐν Ἐλευσῖνι, βοηθήσας, καὶ τροπὴν ποιήσας τῶν πολεμίων, ἀπέθανε κάλλιστα. Καί μιν Ἀθηναῖοι δημοσίῃ τε ἔθαψαν αὐτοῦ τῇπερ ἔπεσε, καὶ ἐτίμησαν μεγάλως.

ΚΕΦ. θ'.

ΑΡΙΩΝ.

Ἐτυράννευε δὲ ὁ Περίανδρος Κορίνθου· τῷ δὴ λέγουσι Κορίνθιοι (ὁμολογέουσι δὲ σφι Λέσβιοι) ἐν τῷ βίῳ θώϋμα μέγιστον παραστῆναι. Ἀρίονα τὸν Μηθυμναῖον ἐπὶ δελφῖνος ἐξενειχθέντα ἐπὶ Ταίναρον, ἔοντα κιθαρῳδὸν τῶν τότε ἐόντων οὐδενὸς δεύτερον, καὶ Διθύραμβον, πρῶτον ἀνθρώπων τῶν ἡμεῖς ἴδμεν, ποιήσαντά τε καὶ ὀνομάσαντα καὶ διδάξαντα ἐν Κορίνθῳ.

Τοῦτον τὸν Ἀρίονα λέγουσι, τὸν πολλὸν τοῦ χρόνου διατρίβοντα παρὰ Περιάνδρῳ, ἐπιθυμῆσαι πλῶσαι ἐς Ἰταλίην τε καὶ Σικελίην· ἐργασάμενον δὲ χρήματα μεγάλα, θελῆσαι ὀπίσω ἐς Κόρινθον ἀπικέσθαι· ὁρμᾶσθαι μέν νυν ἐκ Τάραντος, πιστεύοντα δὲ οὐδαμοῖσι μᾶλλον ἢ Κορινθίοισι, μισθώσασθαι πλοῖον ἀνδρῶν Κορινθίων. Τοὺς δὲ ἐν τῷ πελάγει ἐπιβουλεύειν, τὸν Ἀρίονα ἐκβαλόντας, ἔχειν τὰ χρήματα· τὸν δὲ σανέντα τοῦτο, λίσσεσθαι, χρή-

ματα μὲν προϊέντά σφι, ψυχὴν δὲ παραιτεόμενον. Οὔκων δὴ πείθειν αὐτὸν τούτοισι, ἀλλὰ κελεύειν τοῦ πορθμέας ἢ αὐτὸν διαχρᾶσθαί μιν, ὡς ἂν ταφῆς ἐν γῇ τύχῃ, ἢ ἐκπηδᾷν ἐς τὴν θάλασσαν τὴν ταχίστην.

Ἀπειληθέντα δὲ τὸν Ἀρίονα ἐς ἀπορίην, παραιτήσασθαι, ἐπειδή σφι οὕτω δοκέοι, περιϊδέειν αὐτὸν ἐν τῇ σκεύῃ πάσῃ στάντα ἐν τοῖσι ἑδωλίοισι, ἀεῖσαι. Ἀείσας δὲ, ὑπεδέκετο ἑωϋτὸν κατεργάσασθαι. Καὶ τοῖσι ἐσελθεῖν γὰρ ἡδονὴν, εἰ μέλλοιεν ἀκούσεσθαι τοῦ ἀρίστου ἀνθρώπων ἀοιδοῦ, ἀναχωρῆσαι ἐκ τῆς πρύμνης ἐς μέσην νέα. Τὸν δὲ ἐνδύντα τε πᾶσαν τὴν σκευὴν, καὶ λαβόντα τὴν κιθάρην, στάντα ἐν τοῖσι ἑδωλίοισι, διεξελθεῖν Νόμον τὸν ὄρθιον. Τελευτῶντος δὲ τοῦ νόμου, ῥίψαί μιν ἐς τὴν θάλασσαν ἑωϋτὸν, ὡς εἶχε, σὺν τῇ σκευῇ πάσῃ. Καὶ τοῦ μὲν ἀποπλέειν ἐς τὸν Κόρινθον· τὸν δὲ δελφῖνα λέγουσι ὑπολαβόντα, ἐξενείκαι ἐς Ταίναρον.

Ἀποβάντα δὲ αὐτὸν χωρέειν ἐς Κόρινθον σὺν τῇ σκευῇ· καὶ ἀπικόμενον ἀπηγέεσθαι πᾶν τὸ γεγονός. Περίανδρον δὲ ὑπὸ ἀπιστίης Ἀρίονα μὲν ἐν φυλακῇ ἔχειν, οὐδαμῇ μετιέντα, ἀνακῶς δὲ ἔχειν τῶν πορθμέων. Ὡς δὲ ἄρα παρεῖναι αὐτοὺς κληθέντας, ἱστορέεσθαι, εἴ τι λέγοιεν περὶ Ἀρίονος. Φαμένων δὲ ἐκείνων ὡς εἴη τε σῶς περὶ τὴν Ἰταλίην, καί μιν εὖ πρήσσοντα λίποιεν ἐν Τάραντι, ἐπιφανῆναί σφι τὸν Ἀρίονα, ὥσπερ ἔχων ἐξεπήδησε· καὶ τοῦ ἐκπλαγέντας, οὐκ ἔχειν ἔτι ἐλεγχομένους ἀρνέεσθαι.

Ταῦτα

Ταῦτα μέν νυν Κορίνθιοί τε ϹΛέσϐιοι λέγουσι. Καὶ Ἀρίονός ἐστι ἀνάθημα χάλκεον οὐ μέγα ἐπὶ Ταινάρῳ, ἐπὶ Δελφῖνος ἐπεὼν Ἄνθρωπος.

ΚΕΦ. ι'.

ΠΟΛΥΚΡΑΤΗΣ.

ΤΑῦτα ἐπιλεξάμενος ὁ Πολυκράτης, καὶ νόῳ λαϐὼν ὡς οἱ εὖ ὑποτίθοιτο Ἄμασις, ἐδίζετο ἐπ' ᾧ ἂν μάλιστα τὴν ψυχὴν ἀσηθείη ἀπολομένῳ τῶν κειμηλίων. Διζήμενος δ' εὕρισκε τόδε. Ἦν οἱ σφρηγὶς τὴν ἐφόρεε χρυσόδετος, σμαράγδου μὲν λίθου ἐοῦσα, ἦν δὲ ἔργον Θεοδώρου τοῦ Τηλεκλέος Σαμίου. ἐπεὶ ὦν ταύτην οἱ ἐδόκεε ἀποϐαλέειν, ἐποίεε τάδε. Πεντηκόντερον πληρώσας ἀνδρῶν, ἐσέϐη ἐς αὐτήν· μετὰ δὲ, ἀναγαγεῖν ἐκέλευσε ἐς τὸ πέλαγος. Ὡς δὲ ἀπὸ τῆς νήσου ἑκὰς ἐγένετο, περιελόμενος τὴν σφρηγίδα, πάντων ὀρεόντων τῶν συμπλόων, ῥίπτει ἐς τὸ πέλαγος. Τοῦτο δὲ ποιήσας, ἀπέπλεε· ἀπικόμενος δὲ ἐς τὰ οἰκία, συμφορῇ ἐχρῆτο.

Πέμπτῃ δὲ ἢ ἕκτῃ ἡμέρῃ ἀπὸ τούτων, τάδε οἱ συνήνεικε γενέσθαι. Ἀνὴρ ἁλιεὺς λαϐὼν ἰχθῦν μέγαν τε καὶ καλὸν, ἠξίου μιν Πολυκράτεϊ δῶρον δοθῆναι. Φέρων δὲ ἐπὶ τὰς θύρας, Πολυκράτεϊ ἔφη ἐθέλειν ἐλθεῖν ἐς ὄψιν· χωρήσαντος δὲ οἱ τοῦτου, ἔλεγε διδοὺς τὴν ἰχθῦν· "Ὦ βασιλεῦ ἐγὼ τόνδε "ἑλὼν, οὐκ ἐδικαίωσα φέρειν ἐς ἀγορὴν, καίπερ "ἐὼν ἀποχειροϐίωτος, ἀλλά μοι ἐδόκεε σεῦ τε εἶναι

"ἄξιος

"ἄξιος ϗ τ σῆς ἀρχῆς. Σοὶ δή μιν φέρων δίδωμι.
"Ὁ δὲ, ἡσθεὶς τοῖσι ἔπεσι, ἀμείβεται τοῖσδε·
"Κάρτα τε εὖ ἐποίησας, ϗ χάρις διπλέη τῶν τε
"λόγων καὶ τ δώρε· καί σε ἐπὶ δεῖπνον καλέο-
"μεν." Ὁ μὲν δὴ ἁλιεὺς μέγα ποιεύμενος ταῦτα,
ἤιε ἐς τὰ οἰκία. Τόνδε ἰχθῦν τάμνοντες οἱ θεράπον-
τες εὑρίσκουσι ἐν τῇ νηδύι αὐτε ἐνεῦσαν τ Πολυ-
κράτεος σφρηγῖδα. Ὡς δὲ εἶδόν τε ϗ ἔλαβον, τά-
χιστα ἔφερον κεχαρηκότες τ Πολυκράτεα· δι-
δόντες δὲ οἱ τ σφρηγῖδα, ἔλεγον ὅτεῳ τρόπῳ εὑ-
ρεθείη. Τὸν δὲ ὡς ἐσῆλθε θεῖον εἶναι τὸ πρῆγμα
γράφει ἐς βιβλίον πάντα, τὰ ποιήσαντά μιν, οἷα
καταλελάβηκε· γράψας δὲ, ἐς Αἴγυπτον ἐπέβηκε.

"Ἐπιλεξάμενος δὲ ὁ Ἄμασις τὸ βιβλίον τὸ
"τ Πολυκράτεος ἦκον, ἔμαθε ὅτι ἐκκομί-
"σαι τε ἀδύνατον εἴη ἀνθρώπῳ ἄνθρωπον ἐκ τοῦ
"μέλλοντος γίνεσθαι πρήγματος, ϗ ὅτι ὡς οὐκ εὖ
"τελευτήσειν μέλλει Πολυκράτης, εὐτυχέων τὰ
"πάντα· ὃς ϗ τὰ ἀποβάλλει, εὑρίσκει." Πέμψας
δὲ οἱ κήρυκα ἐς Σάμον, λῦσθαι ἔφη τ ξεινίην.
Τῶνδε εἵνεκα ταῦτα ἐποίεε, ἵνα μὴ σωτυχίης δεινῆς
τε ϗ μεγάλης Πολυκράτεα καταλαβόσης, αὐτὸς
ἀλγήσειε τ ψυχὴν, ὡς περὶ ξείνε.

ΚΕΦ.

ΚΕΦ. ιά'.

ΨΑΜΜΗΤΙΧΟΣ.

Οἱ δὲ Αἰγύπτιοι, πρὶν μὲν ἢ Ψαμμήτιχον σφέων βασιλεῦσαι, ἐνόμιζον ἑωυτοὺς πρώτους γενέσθαι πάντων ἀνθρώπων. Ἐπεὶ δὲ Ψαμμήτιχος βασιλεύσας ἠθέλησε εἰδέναι οἵ τινες γένοιατο πρῶτοι, ἀπὸ τούτου νομίζουσι φρύγας προτέρους γενέσθαι ἑωυτῶν, τοὺς δὲ ἄλλων ἑωυτούς. Ψαμμήτιχος γὰρ, ὡς οὐκ ἐδύνατο πυνθανόμενος πρόσω οὐδένα τούτου ἀνευρεῖν, οἵ γενοίατο πρῶτοι ἀνθρώπων, ἐπιτεχνᾶται τοιόνδε.

Παιδία δύο νεογνὰ ἀνθρώπων τοὺς ἐπιτυχόντων διδοῖ ποιμένι τρέφειν ἐς τὰ ποίμνια τροφὴν τοιήνδε· ἐντειλάμενος μηδένα ἀντίον αὐτέων μηδεμίην φωνὴν ἱέναι, ἐν στέγῃ κατὰ ἐρήμην ἐπ' ἑωυτῶν κεῖσθαι αὐτὰ, καὶ τοὺς ὥρῃ ἐπαγινέειν σφίσι αἶγας· πλησάντα δὲ τοῦ γάλακτος τἆλλα δειπνήσεσθαι. Ταῦτα δ' ἐποιέετο καὶ ἐνετέλλετο ὁ Ψαμμήτιχος, θέλων ἀκοῦσαι τοῦ παιδίων, ἀπαλλαχθέντων τῶν ἀσήμων κνυζημάτων, ἥντινα φωνὴν ῥήξουσι πρώτην. Τάπερ ὧν καὶ ἐγένετο. Ὡς γὰρ διέτης χρόνος ἐγεγόνεε, ταῦτα τῷ ποιμένι πρήσσοντι, ἀνοίγοντί τε τὴν θύρην καὶ εἰσιόντι, τὰ παιδία ἀμφότερα προσπίπτοντα, βέκκος ἐφώνεον, ὀρέγοντα τὰς χεῖρας, τὰ μὲν δὴ πρῶτα ἀκούσας, ἡσυχος ἦν ὁ ποιμήν· ὡς δὲ πολλάκις ποιτέοντι καὶ ἐπιμελουμένῳ

πολλὸν

πολλὸν ἦν τοῦτο τὸ ἔπος, ὅτω δὴ σημήνας τῷ δεσπότῃ, ἤγαγε τὰ παιδία κελεύσαντος ἐς ὄψιν τὴν ἐκείνου. Ἀκούσας δὲ καὶ αὐτὸς ὁ Ψαμμήτιχος, ἐπυνθάνετο οἵτινες ἀνθρώπων βέκκος τι καλέουσι. Πυνθανόμενος δὲ εὗρισκε Φρύγας καλέοντας τὸν ἄρτον. Οὕτω σωνεχώρησαν Αἰγύπτιοι, καὶ τοιούτῳ σαθμησάμενοι πρήγματι, τοὺς Φρύγας πρεσβυτέρους εἶναι ἑωυτῶν.

ΚΕΦ. ιβ'.

Ἀνθρώπου ψυχὴ ἀθάνατος.

Πρῶτοι δὲ καὶ τόνδε τὸν λόγον Αἰγύπτιοι εἰσὶ εἰπόντες, ὡς ἀνθρώπου ψυχὴ ἀθάνατός ἐστι. Τοῦ σώματος δὲ καταφθίνοντος, ἐς ἄλλο ζῶον αἰεὶ γινόμενον ἐσδύεται· ἐπεὰν δὲ περιέλθῃ πάντα τὰ χερσαῖα, καὶ τὰ θαλάσσια, καὶ τὰ πτηνὰ, αὖτις ἐς ἀνθρώπου σῶμα γινόμενον ἐσδύνειν. Τὴν περιείλησιν δὲ αὐτῇ γίνεσθαι ἐν τρισχιλίοισι ἔτεσι. Τούτῳ τῷ λόγῳ εἰσὶ οἱ Ἑλλήνων ἐχρήσαντο, οἱ μὲν πρότερον, οἱ δὲ ὕστερον, ὡς ἰδίῳ ἑωυτῶν ἐόντι. Τῶν ἐγὼ οἰδὼς τὰ ὀνόματα, οὐ γράφω.

ΚΕΦ. ιγ'.

ΚΑΜΒΥΣΗΣ.

Καμβύσης δὲ ἐκ Μέμφιος ἀπίκετο ἐς Σάϊν πόλιν, βουλόμενος ποιῆσαι τὰ δὴ καὶ ἐποίησε.

Ἐπεί

Ἐπεί τε γὰρ ἐσῆλθε ἐς τὰ τοῦ Ἀμάσιος οἰκία, αὐτίκα ἐκέλευε ἐκ τῆς ταφῆς τὸν Ἀμάσιος νέκυν ἐκφέρειν ἔξω. Ὡς δὲ ταῦτα ἐπιτελέα ἐγένετο, μαστιγοῦν τὸν νέκυν ἐκέλευε, καὶ τὰς τρίχας ἀποτίλλειν, καὶ κεντοῦν, καὶ τἄλλα πάντα λυμαίνεσθαι. Ἐπεί τε δὲ καὶ ταῦτα ἔκαμον ποιεῦντες, (ὁ γὰρ δὴ νεκρὸς, ἅτε τεταριχευμένος, ἀντεῖχέ τε καὶ οὐδὲν διεχέετο) ἐκέλευσέ μιν ὁ Καμβύσης κατακαῦσαι, ἐντελλόμενος οὐκ ὅσια.

Πέρσαι γὰρ Θεὸν νομίζουσι εἶναι τὸ πῦρ· τὸ ὦν κατακαίειν τοὺς νεκροὺς, οὐδαμῶς ἐν νόμῳ οὐδετέροισί ἐστι· Πέρσῃσι μὲν, δι' ὅπερ εἴρηται, Θεῷ οὐ δίκαιον εἶναι λεγοῦσι νέμειν νεκρὸν ἀνθρώπου· Αἰγυπτίοισι δὲ νενόμισται πῦρ θηρίον εἶναι ἔμψυχον· πάντα δὲ αὐτὸ κατεσθίειν τάπερ ἂν λάβῃ· πλησθὲν δὲ αὐτὸ τῆς βορῆς, συναποθνήσκειν τῷ κατεσθιομένῳ. Οὔκων θηρίοισι νόμος οὐδαμῶς σφί ἐστι τὸν νέκυν διδόναι. Καὶ διὰ ταῦτα ταριχεύουσι, ἵνα μὴ κείμενος ὑπὸ εὐλέων καταβρωθῇ. Οὕτω δὴ οὐδετέροισι νομιζόμενα ἐνετέλλετο ποιέειν ὁ Καμβύσης.

ΚΕΦ. ιδ'.

ΑΡΤΑΒΑΝΟΣ.

"ΝΥΝ μὲν, ὦ βασιλεῦ, τὸν σύλλογον τόνδε
" διάλυσον· αὖτίς τε ὅταν τοι δοκέει, προ-
" σκεψάμενος ἐπὶ σεωϋτοῦ, προαγόρευε τά τοι δο-
" κέει εἶναι ἄριστα. Τὸ γὰρ εὖ βουλεύεσθαι, κέρδος

" μέγιστον εὑρίσκω ἐόν. Εἰ γὰρ ἓ ἐναντιωθῆναί τοι
" θέλει, βεβούλευ᾽ μὴ ὀδὲν ἧσσον εὖ, ἔσωσαν δὲ
" ὑπὸ τ᾽ τύχης τὸ βούλευμα· ὁ δὲ βουλεύσαμενος
" αἰσχρῶς, εἰ οἱ ἡ τύχη ἐπίσποιτο, εὕρημα εὕρηκε,
" ἧσσον δὲ ὀδὲν οἱ κακῶς βεβούλευ᾽.

" Ὁρᾷς ὡς τὰ ὑπερέχοντα ζῶα κεραυνοῖ ὁ Θεὸς,
" ὀδὲ ἐᾷ φαντάζεσθαι, τὰ δὲ σμικρὰ, ὀδέ μιν
" κνίζει; ὁρᾷς δὲ ὡς ἐς οἰκήματα τὰ μέγιστα ἀεὶ
" καὶ δένδρεα, τὰ τοιαῦτ᾽ ἐπισκήπτει βέλεα; Φι-
" λέει γὰρ ὁ Θεὸς τὰ ὑπερέχοντα πάντα κολούειν.
" Οὕτω δὴ ἓ στρατὸς πολλὸς ὑπὸ ὀλίγου διαφθεί-
" ρε᾽ κατὰ τοιόνδε· ἐπεάν σφι ὁ Θεὸς φθονήσας
" φόβον ἐμβάλῃ, ἢ βροντὴν, δι᾽ ὧν ἐσφάλησαν
" ἀναξίως ἑωυτῶν. Οὐ γὰρ ἐᾷ φρονέειν ἄλλον μέ-
" γα ὁ Θεὸς ἢ ἑωυτόν. Ἐπειχθῆναι μὲν νυν πᾶν
" πρῆγμα, τίκτει σφάλματα, ἐκ τ᾽ ζημίαι με-
" γάλαι φιλέουσι γίνεσθαι· ἐν δὲ τῷ ἐπιέχειν ἔ-
" νεστι ἀγαθὰ, εἰ μὴ παραυτίκα δοκεόντα εἶναι,
" ἀλλὰ ἀνὰ χρόνον εὕροι τις ἄν. Σοὶ μὲν δὴ ταῦτα,
" Βασιλεῦ, συμβουλεύω."

ΤΕΛΟΣ.

BOOKS for the Uſe of *Wincheſter* School printed for JOHN BURDON, Bookſeller, near the College, and ſold by him and Mr. BEECROFT, *Pater-noſter-row, London.*

The Pſalms, Hymns, Prayers, Graces, and Dulce Domum. *Price* 4 *pence.*

Kenn's Manual of Prayers. 1*s.*

De Diis et Heroibus Poeticis, Libellus Auctore Juvencio. 1*s.*

Selectæ Hiſtoriæ ex C. J. Cæſare, Juſtino et L. A. Floro, 12mo. 3*s* 6*d.*

Vidæ Ars Poetica, accedit C. ex Macrobio, 12mo. 2*s* 6*d.*

De Oratoribus ſive de Cauſis corruptæ Eloquentiæ Dialogus ex C. Tacito Selectus, 8vo. 1*s* 6*d.*

ΠΟΙΚΙΛΗ ΙΣΤΟΡΙΑ ſive Novus Hiſtoriarum Fabularumque Delectus ex Æliano, Polyæno, Ariſtotele, Dionyſio, Halicar. Maximo Tyrio, Platone et Herodoto, Græcè, editio nova, 12mo. 2*s.*

Interpretatio ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ Novâ Methodo Conſtructa, 12mo. 2*s.*

Homeri Odyſſeæ Libri, IX, X, XI, XII; Græcè, Select. 8vo. 2*s* 6*d.*

Ex Scriptoribus Græcis, *viz.* Iſocrate, Demoſthene, Luciano, Xenophonte et Herodoto ſelecta, Græce, 8vo. 6*s.*

School Books in general are ſold by JOHN BURDON, *with good allowance to Schoolmaſters and Bookſellers.*